eul_wid: mlw-ah

*Ἀριστοφάνους Σχόλια* · Aristophanes Scholia

# Commentary-Wealth

*Ὑπόμνημα εἰς Πλοῦτον*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Κοινὴ τεχνική* Technical Koine
**Domain:** *Γραμματική* Grammar
**Format:** *Πεζός* Prose

book 1 Χρεμύλος τις ὢν πρεσβύτης πένης καὶ ἔχων υἱόν, κατανοήσας ὡς οἱ φαῦλοι τῶν ἀνθρώπων τὸ τηνικαῦτα εὖ πράττουσιν, οἱ δὲ χρηστοὶ ἀτυχοῦσιν, ἀφικνεῖται ἐς θεοῦ, χρησόμενος πότερον τὸν παῖδα σωφρόνως ἀναθρέψει καὶ ὅμοιον ἑαυτοῦ τοῖς τρόποις διδάξειεν—ἦν γὰρ αὐτὸς χρηστός—ἢ φαῦλον, ὡς τῶν φαύλων τότε εὖ πραττόντων. ἐλθὼν οὖν εἰς τὸ μαντεῖον, περὶ μὲν ὧν ἤρετο οὐδὲν ἤκουσε, προστάττει δὲ αὐτὸν ἐν τῷ ἐξιέναι, ὃν ἂν καθέξει πρῶτον, κατασχεῖν. ὀπτάνεται γοῦν αὐτῷ Πλοῦτος τυφλός, καὶ ἀκολουθεῖ τούτῳ,

book 1 καὶ τὰ λοιπά.

book 1 Καρίων οἰκέτης. Χρεμύλος δεσπότης. Πλοῦτος. Χορὸς ἀγροίκων. Βλεψίδημος. Πενία. Γυνὴ Χρεμύλου. Ἀνὴρ δίκαιος. Ἕτερος ἀνήρ. Συκοφάντης. Γραῦς ἡ φίλη τοῦ μειρακίου. Νεανίας. Ἑρμῆς θεός. Ἱερεὺς Διός.

book 1a ὁ θεράπων δυσφορεῖ, τοῦ δεσπότου ἑπομένου τυφλῷ ἀνδρί· οὕτω δὲ 〈τοῦ〉 “ὡς” πέπλεκται ἡ διάνοια· τὸ γὰρ “ὡς” ἐνταῦθα δηλωτικόν ἐστιν ἐπιτάσεως· δύο γὰρ δηλοῖ τὸ “ὡς”, τὸ κατ’ ἐπίτασιν καὶ τὸ θαυμαστικόν. ἅπαν δὲ οὐ διὰ τὴν τύχην, ἀλλὰ διὰ τὸ ἐπαχθὲς τῶν δεσποτῶν.

book 1b ἀργαλέον: χαλεπόν, δύσκολον, δυσάρεστον· εἴρηται δὲ παρὰ τὸ ἄλγος “ἀλγαλέον” καὶ κατὰ τροπὴν τοῦ λ εἰς ρ “ἀργαλέον”· ἢ ἔργον παρὰ τοῖς παλαιοῖς τὸ δυσχερές, ἐκ τούτου παράγωγον τὸ “ἀργαλέον”, ὡς ἀπὸ τοῦ “ἔπω” “ἀπύω”.

book 1c ὦ Ζεῦ: τὸν Δία παρέλαβε κατ’ ἐξοχὴν τῶν ἄλλων θεῶν ὡς τὸ “Ζεὺς δ’ ἐπεὶ οὖν Τρῶάς τε καὶ Ἕκτορα νηυσὶ πέλασσε”. κἀκεῖ γὰρ τὸν Ἕκτορα ὀνομάζων κατ’ ἐξοχὴν παρείληπται.

book 2a χαλεποῦ ὄντος τοῦ ὑπηρετεῖν, χαλεπώτερον γίνεται, ἐὰν καὶ ἀνοήτῳ δεσπότῃ τις ὑπηρετῇ.

book 2b δοῦλον γενέσθαι: τὸ ὅλον οὐ πρὸς τὴν τύχην ἐστίν· οὐ γὰρ ὅτι δοῦλός ἐστι λυπεῖται, ἀλλὰ πρὸς τὴν διαφορὰν τῶν κεκτημένων ἔθηκε τὸ “παραφρονοῦντος”.

book 3a 〈δοῦλοσ〉 ἀπὸ τοῦ μετὰ δέους λάειν ἤγουν βλέπειν· δεσπότης ὁ τοῦ δέους ποιητής.

book 3b λέξας τύχῃ: ἀντὶ τοῦ “λέξῃ” ἀττικῶς· ἢ τὸ “τύχῃ” ἔχει ἔμφασιν, ἀντὶ τοῦ “τυχαίως πως λέγουσιν οἱ δοῦλοι λόγους καλούς”· οὐ γὰρ ἀπὸ μαθήσεως διδάσκονται τὸ λέγειν καλῶς.

book 3c ἢ “ἐὰν γὰρ τύχῃ λέξας τὰ βέλτιστα” ἀντὶ τοῦ “λέξῃ”, ἢ “ἐὰν γὰρ λέξας τὰ βέλτιστα τύχῃ” ἤγουν “τυχαίως”. “βέλτιστος” παρὰ τὸ βέλλω, ὅθεν καὶ βολὴ καὶ βέλος γίνεται· ῥηματικὸν ὄνομα τὸ “βελτός”, καὶ τὸ συγκριτικὸν “βέλτερος”· “ἀπολέσθαι ἕνα χρόνον βέλτερον ἠὲ βιῶναι”. ὁ

δεύτερος τύπος “βελτίων βέλτιστος”. αὐτὸ μὲν τὸ εἶναί τινα δοῦλον λίαν ἐστὶ πικρὸν καὶ ἐπώδυνον· εἰ δὲ καὶ παραφρονοῦντος δεσπότου ἐστί τις δοῦλος, τοῦτο τῶν ***

book 5 μετέχειν: πρὸς τὸ ποιητικόν· “ἥμισυ γάρ 〈τ’〉 ἀρετῆς 〈ἀποαίνυται〉 εὐρύοπα Ζεὺς ἀνέρος εὖτ’ ἄν μιν κατὰ δούλιον ἦμαρ ἕλῃσι”. τί γὰρ κακὸν μεῖζον τοῦ τὰ ἐναντία ἑαυτῷ διαπράττεσθαί τινα, ἐν τῷ μὴ ποιεῖν ἃ βούλεταί τις καὶ τῆς τῶν ἄλλων ἀφροσύνης ἀνέχεσθαι·

book 8a καὶ ταῦτα μὲν τοῦτον ἔχει τὸν τρόπον. ἔστι δὲ τὸ σχῆμα ἀποθετικὸν τῆς πρώτης ἐννοίας.

book 8b τῷ δὲ Λοξίᾳ: τοῦτο παραγραφὴ λέγεται· ἤτοι τῷ Ἀπόλλωνι τῷ λοξὴν ἰὰν πέμποντι, λοξῶς γὰρ μαντεύεται ὁ θεός· ἢ τῷ λοξὴν πορείαν ποιουμένῳ, ὁ αὐτὸς γάρ ἐστι τῷ ἡλίῳ. ἄλλως. τῷ δὲ Λοξίᾳ: τῷ Ἀπόλλωνι τῷ λοξῶς ἰάνοντι τουτέστι φωνοῦντι, λοξῶς γὰρ μαντεύεται ὁ θεός· ἢ τῷ λοξὴν ἴαν τουτέστι πορείαν ποιουμένῳ, ἀπὸ τοῦ ἴημι τὸ ἔρχομαι· λοξῶς δὲ κινεῖται ὁ ἥλιος διὰ τοῦ ζῳδιακοῦ κύκλου· ὁ γὰρ Ἀπόλλων εἰς τὸν ἥλιον ἀλληγορεῖται.

book 9a ὃς θεσπιῳδεῖ: ἐτραγικεύσατο τῇ τέχνῃ. ὁ γὰρ Πύθιος ἐπὶ τρίποδος καθήμενος χρησμῳδεῖ, καλεῖται δὲ τὸ μέρος, ἐν ᾧ κάθηται, ὅλμος.

book 9b τρίποδι χρᾶται ὁ Ἀπόλλων μαντευόμενος· διὰ τὰς τρεῖς ταύτας τάξεις φησί, διὰ τὰ ἐόντα, τὰ ἐσόμενα καὶ τὰ μέλλοντα 〈καὶ τὰ πρὸ ἐόντα〉. τριῶν οὐσῶν τῶν τεχνῶν τοῦ θεοῦ, δύο ἐμνήσθη, ἰατρικῆς καὶ μαντικῆς, μουσικῆς δὲ οὔ, ὡς μὴ χρείαν ἐχούσης πρὸς τὸ παρόν. ἄλλως. τρίποδι χρᾶται ὁ Ἀπόλλων μαντευόμενος διὰ τοὺς τρεῖς καιρούς, τὸν ἐνεστῶτα, τὸν παρεληλυθότα καὶ τὸν μέλλοντα. τινὲς δέ φασι κτήσασθαι τὸν τρίποδα οὕτως. ἁλιεῖς μισθῷ βῶλον ἔρριπτον ἵνα τὸ ἀναφερόμενον ᾖ τοῦ ἀγοράσαντος τὸν βῶλον. ἠγόρασαν οὖν τινες· εἶτα ἀνηνέχθη τρίπους χρυσοῦς· ἐφιλονείκουν οὖν περὶ αὐτοῦ καὶ ἔλεγον ὡς “πᾶν τὸ ἀνιὸν ἠγοράσαμεν τῇ αὐτοῦ τύχῃ.” ὥστε οὖν φιλονεικούντων ἔδοξαν ἐρωτῆσαι τὸν Ἀπόλλωνα, ὁ δὲ διήτησε δοθῆναι αὐτὸν τῷ σοφῷ. προσήγαγον οὖν αὐτὸν τοῖς ἑπτὰ σοφοῖς· ἕκαστος δὲ τούτων παρῃτεῖτο λέγων σοφὸς μὴ

book 9b εἶναι. ἔδοξαν οὖν αὐτὸν ἀναθεῖναι τῷ Ἀπόλλωνι ὡς σοφωτάτῳ πάντων· ὅθεν λόγος ἐσχηκέναι αὐτὸν τὸν τρίποδα· ἡ δὲ λέξις τὸ θεσπιωδεῖν ἐτυμολογεῖται οἱονεὶ θεοεπᾴδειν χρυσοῦς δέ ἐστιν ὁ τρίπους ὅτι μία ἡ ὕλη καὶ οἱ ᾀδόμενοι χρησμοὶ τίμιοι.

book 10 μέμψιν δικαίαν: νέμεσις καὶ μέμψις διαφέρει· νέμεσις ((γὰρ)) ἡ δικαία αἰτίασις, μέμψις δέ ποτε καὶ ἡ ἄδικος διὰ τοῦτο προσέθετο τὸ “δικαίαν”.

book 11a ἰατρὸς: τῶν δυοῖν ἀρετῶν μέμνηται τοῦ θεοῦ κατὰ τὸ παρόν; θεσπιῳδίας τε καὶ τῆς ἰατρικῆς. εὐκαίρως δὲ τὴν μνήμην τούτων ἐποιήσατο· ἰατρικῆς μέν, ὅτι ἀνίατον ἔπεμψε τὸν δεσπότην καὶ τὴν μὴ προσοῦσαν αὐτῷ μελαγχολίαν περιῆψε, θεσπιῳδίας δὲ διὰ τὸ προσεχὲς τῆς ἐκεῖθεν ἐξόδου. τριῶν δὲ οὐσῶν τεχνῶν ὧν μετεῖχεν ὁ θεός, μέμνηται νῦν τῆς μαντείας καὶ ἰατρικῆς, παρῆκε δὲ τὴν μουσικὴν ὡς ἐπὶ τοῦ παρόντος μὴ χρείαν αὐτῆς ἔχων. ἢ διὰ τοῦ εἰπεῖν “σοφός” τὴν μουσικὴν αἰνίττεται· πρὸς τὸ χάριεν οὖν διαβάλλει τὸν θεόν, ὅτι τῶν ἄλλων ἰατρὸς ὢν οὐκ ἰάτρευσεν αὐτόν, ἐξέπεμψε δὲ πρὸς τούτῳ καὶ τῆς προσούσης αὐτῷ συνέσεώς τε καὶ σοφίας ἐστέρησεν,

book 11a ἐκταράξας τῇ μαντείᾳ· τοῦτο οὖν ἔοικε λέγειν, ὅτι διὰ τῶν ἑαυτοῦ μᾶλλον ἀρετῶν ἔβλαψε τὸν δεσπότην ἤπερ ὠφέλησε, καὶ διὰ μὲν τῆς μαντείας ἐτάραξε, διὰ δὲ τῆς ἰατρικῆς μελαγχολᾶν ἐποίησε, διὰ δὲ τῆς σοφίας, ὅ ἐστι τῆς φρονήσεως, τοῦ φρονεῖν αὐτὸν ἀφείλατο. ψεύδεται ὁ δοῦλος· οὐ γὰρ ἀλήθειαν λέγει, ἐπεὶ ἐκεῖνος κατὰ πρόσταξιν θεοῦ τοῦτο πεποίηκεν.

book 11b διστακτικὸν εἶπεν “ὥς φασιν”: “οἱ μὲν γὰρ ἄλλοι σοφὸν αὐτὸν λέγουσιν, ἐγὼ δὲ ἀπ’ ἔργων ὧν βλέπω κρίνω τοῦτον ἄτεχνον μάντιν καὶ ἄτεχνον ἰατρόν”.

book 15a

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οἱ γὰρ βλέποντες: τὸ εὔηθες καὶ μανικὸν κατηγορεῖ τοῦ δεσπότου ἐκ τοῦ παράπαν ἐναντίου· ἡγεῖσθαι γὰρ προσήκει, οὐχ ἕπεσθαι τυφλῷ.

book 15b 〈ἡγούμεθα〉 καὶ ἡγεμονεύομεν· ἡγοῦμαι τὸ προπορεύομαι, δοτικῇ· τὸ δὲ ἡγομονεύω, γενικῇ.

book 17a "καὶ ταῦτ' ἀποκρινομένου καὶ λαλοῦντος τοῦ τυφλοῦ οὐδὲ γρῦ". ἔστι γὰρ ὅτε λαμβάνεται τοῖς ποιηταῖς ἡ ἀπόκρισις ἀντὶ ἁπλῆς ὁμιλίας.

book 17b γρύ: βραχύ. ἔστι δὲ ὄνυχος ῥύπος· τινὲς δὲ παρὰ τὸν γρυλλισμὸν τουτέστι τὴν φωνὴν τῶν χοίρων· ἢ εἶδος νομίσματος· γρὺ τὸ μικρόν, ὅθεν καὶ γρύτη, τὰ μικρὰ σκεύη. ἔστι δὲ τὸ σχῆμα παρ' ὑπόνοιαν.

book 21 οὐ γάρ με τυπτήσεις: ἔθος εἰς θεοὺς ἀπιόντα στεφανοῦσθαι καὶ ἀνεύθυνον εἶναι. πρὸς τὸ ἔθος οὖν ἀνακομιζόμενοι ἐκ τοῦ μαντείου ἐστεφανηφόρουν. ἄλλως. ἡ στεφανηφορία τοῖς εἰς θεὸν ἀπιοῦσι δούλοις τε καὶ ἐλευθέροις ἰσοτίμως ἐδίδοτο, οὐδὲν πλεονεκτήματος τεκμήριον ἐλευθέροις δωρουμένη, οὐδὲ μὴν δούλοις ὀνειδίζουσα τὸ τῆς τύχης ὑποδεές, ἔπαιξε δὲ ἅμα χαριέντως καὶ δυσωπητικῶς.

book 23a ἵνα μᾶλλον: ἤτοι τῆς τοῦ στεφάνου περιθέσεως στερισκόμενος.

book 23b ἵνα μᾶλλον ἀλγῇς: δεχόμενος τὰς τῶν πληγῶν καταγωγὰς διὰ τὸ γυμνῆς καθικνεῖσθαι τῆς κεφαλῆς.

book 23c λῆρος: χαριέντως καὶ σκοπὸν ἤνυσε καὶ ὑβρίζειν οὐκ ἔδοξε καίπερ λυπούμενος· ἐπεὶ τὸν δεσπότην ἔμελλεν ὑβρίζειν, εὐστόχως οὐκ εἶπε "ληρεῖς", ἀλλ' ἀορίστως "λῆρος".

book 25 πάνυ σφόδρα: ὅτι σύνηθες παρ' ἀλλήλοις τὰ ἰσοδυναμοῦντα τίθεσθαι· γέγονε δὲ ἐξ ἀμφοτέρων οὕτως καὶ τὸ "τυχὸν ἴσως"

book 27 κλεπτίστατον: τὸ σχῆμα παρ' ὑπόνοιαν. ἀντὶ τοῦ εἰπεῖν "εὐνούστατον", παίζων κωμικῶς ἅμα καὶ χαριεντιζόμενος διὰ τὸ τῆς κωμῳδίας μειδιαστικόν, ἅμα δὲ καὶ τὸν οἰκέτην ποιεῖ ἀποδοχῆς τυγχάνοντα καὶ χλεύης παρὰ τοῦ δεσπότου· ἦν γὰρ ἐλπὶς τῷ πρώτῳ συμφώνως λεχθήσεσθαι καὶ τὸ δεύτερον. ἢ ἀντὶ τοῦ "κερδαλέον καὶ συνετόν"—καὶ Ὅμηρος "κλέπτε νόῳ", παραλογίζου—, ἢ "μυστηριακώτατον"· τὰ γὰρ μυστήρια κρυφίως γίνεται.

book 29 οἶδά τοι: οἶδα, φησίν, ὅ τι αἰνίττεται τοῦ δράματος ὁ σκοπός.

book 30a ἱερόσυλοι ῥήτορες: ἢ ὡς κλέπτοντες τὸ ἱερόν, ἤγουν τὴν ἀλήθειαν.

book 30b ῥήτορες: οἱ συνήγοροι καὶ οἱ τὴν ἰδίαν ἀπεμφαίνοντες γνώμην.

book 31a συκοφάνται: λιμοῦ γενομένου ἐν τῇ Ἀττικῇ λάθρα τὰς συκᾶς ἀφιερωμένας τοῖς θεοῖς ἐκαρποῦντο, μετὰ δὲ ταῦτα εὐθηνίας γενομένης κατηγόρουν τούτων καὶ ἐκεῖθεν συκοφάνται λέγονται.

book 31b "πονηρός" ὁ κακοῦργος, "πόνηρος" ὁ ἄθλιος.

book 33 ταλαιπώρου: τοῦ τλητικοῦ ἢ τοῦ τετληκότος· "ταλαίπωρος" δὲ παρὰ τὸ τλῆναι. τὸν πῶρον ὅ ἐστι τὸ πάθος· φησὶ καὶ Ἀντίμαχος· "πῶρόν τ' ἐν ἀλόχοισιν καὶ οἷς τεκέεσσιν ἔθεντο." λέγονται δὲ ταλαίπωροι οἱ ἐκ τῶν τληπαθειῶν ἐννεοὶ γενόμενοι καὶ οἷον πωρούμενοι κατὰ τὸν τῆς Νιόβης λόγον τὰ γὰρ περὶ αὐτῆς μυθολογούμενα ἀπίθανά τε καὶ ἀδύνατα.

book 34a ἐκτετοξεῦσθαι: ἐκκενῶσθαι, ἐκ μεταφορᾶς τῶν ἐν τῇ τοξείᾳ ἀναλισκόντων 〈τὰ βέλη〉 · ἢ ὑπὸ τῶν τόξων τῆς εἱμαρμένης ἀπολωλέναι. ἄλλως. ἀντὶ τοῦ ἐξοίχεσθαι πρὸς ἀπόληξιν τῆς ἐν αὐτῷ διατριβῆς ἐκπίπτοντα. ἄλλως. ἀπολωλέναι ἀπὸ τῶν τοξευομένων ἢ τὰ βέλη ὅλα ἀφιέντων τοξοτῶν.

book 34b ἐκ μεταφορᾶς τῶν τὰς ἰδίας σαρίσσας ἐκτοξευσάντων ἐκκενῶσθαι καὶ ἀπαντληθῆναι.

book 37

ἀπὸ μεταφορᾶς τοῦ σώματος· ὥσπερ γὰρ ἐν τῷ σώματι, ὅταν ὑγιαίνωσι τὰ στοιχεῖα καὶ μένωσιν εἰς τὴν οἰκείαν τάξιν, σῴζεται τὸ σῶμα, οὕτω καὶ ἡ ἀλήθεια ὅταν ἔχῃ τοὺς λόγους ὀρθούς, λέγομεν "ὑγιαίνει", ὅταν δὲ μὴ οὕτως, λέγομεν "νοσεῖ".

book 39 ἐκ τῶν στεμμάτων: ὅτι στεφάνῳ δάφνης ἔστεπτο ὁ τρίπους, ἐφ' οὗ καθῆτο ἡ Πυθία χρησμῳδοῦσα. καλεῖται δὲ τὸ μέρος, ἐν ᾧ κάθηται, ὅλμος. ὁ Ἀπόλλων ἐρασθεὶς τῆς Δάφνης τῆς θυγατρὸς τοῦ Λάδωνος τοῦ ποταμοῦ καὶ τῆς Γῆς καὶ μὴ δυνηθεὶς περιγενέσθαι αὐτῆς ἅτε καταχωσθείσης τῇ γῇ κἀκεῖθεν δάφνης ἀναδοθείσης, δάφνινον στέφανον ποιησάμενος, τῷ αὐτῷ τρίποδι ἀπῃώρησεν.

book 45a τὸ "ξυνίεις" ἐπὶ ἐνεστῶτος δίφθογγον· ἐπὶ δὲ παρατατικοῦ η; ξυνίημι καὶ ὁ παρατατικὸς ξυνίην ξυνίης.

book 45b ἐπίνοιαν τοῦ θεοῦ: ἔννοια γάρ ἐστιν ἡ γνῶσις· ἐπίνοια δὲ ἡ ἔχουσα ἐν ἑαυτῇ κρύψιν τινά.

book 46 ἀπὸ τῶν πυλῶν τῶν ὀνομαζομένων Σκαιῶν.

book 48 δηλονοτὶ καὶ τυφλῷ: ἤτοι πρὸς τὸν Πλοῦτον αἰνιττόμενος ἢ παρὰ τὸ πηρὸν τῷ νῷ—"νοῦς" γὰρ "ὁρᾷ καὶ νοῦς ἀκούει"— καθάπερ ὁ τυφλὸς τὴν πορείαν εὐθεῖαν οὐ ποιεῖται. καὶ τὸ ὁμηρικόν· "καί κ' ἀλαός τοι ξεῖνε διακρίνειε τὸ σῆμα". "τυφλῷ" δὲ οὐχὶ ὀφθαλμὸν ἀλλὰ τὴν καρδίαν, τουτέστιν ἀνοήτῳ. παροιμία· "τυφλῷ δῆλα τὰ μαρτύρια". τὸ δὲ ἑξῆς ὅτι σφόδρα ἐστὶ τοῦτο συμφέρον τὸ μηδὲν ὑγιὲς ἀσκεῖν.

book 51 ἀπὸ μεταφορᾶς τῶν ζυγῶν.

book 57a ἢ τἀπὶ τούτοις: τὰ ἐπὶ τῇ ἀπειλῇ.

book 57b λέγειν οὖν χρή· "λόγῳ πεισθέντα βέλτιόν σοι ἐξειπεῖν ἢ βιασθέντα"· ἢ "ὡς μὴ λέγοντός σου βίαιόν τι διαπράξομαι".

book 58 ἵπτει γὰρ τὴν ὕβριν πρὸς τὸν δεσπότην.

book 61 τὸ εἶδος ἀντὶ γένους· τὸ ὅρκος εἶδος, τὸ δὲ εὐσέβεια γένος.

book 63 ὄρνιν ἐκάλουν οἱ παλαιοὶ πᾶν τὸ ἐπὶ σημείῳ τινὶ καὶ τεκμηρίῳ παραβαλλόμενον· ἐκ μεταφορᾶς τῆς οἰωνοσκοπητικῆς.

book 64 μὰ τὴν Δήμητραν: ἐπικαλεῖται τὴν Δήμητραν ὡς πένης καὶ ὡς χρείαν ἔχων τῶν ἀναγκαίων καὶ τῶν ἀπὸ τῆς γῆς καρπῶν καὶ ἵνα ἐπιδαψιλεύηται αὐτῷ τὰ ἀναγκαῖα δι' ὧν ἂν ζώῃ.

book 66a ὦ τάν: ὅτι οὐ πρὸς ἕνα μόνον τὸ "ὦ τάν" ἀλλὰ καὶ πρὸς δύο καὶ Κρατῖνός φησιν· "ἆρά γε ὦ τὰν ἐθελήσετε," "τάν" καὶ φίλε, ἀπὸ τοῦ ἔτης, ὁ φίλος, τοῦ ἔτου· ἡ κλητικὴ "ὦ ἔτα" καὶ κατὰ συγκοπὴν καὶ πλεονασμῷ τοῦ ν "τάν".

book 66b πώμαλα: οὐδαμῶς· ἔστι δὲ ἀττικόν· ἐπίρρημα ἀρνήσεως.

book 69a ὡς ἐπὶ ἀψύχου τὸ "ἀναθείς" διὰ τὸ τυφλὸν αὐτὸν εἶναι.

book 69b οὕτως τὴν αἰτιατικὴν ἀντὶ γενικῆς καὶ ἀντὶ δοτικῆς τὴν αἰτιατικὴν πολλάκις οἱ Ἀττικοὶ λέγουσιν.

book 70 τραχηλιάζειν τὸ ἀλαζονεύεσθαι, τραχηλίζειν τὸ μετὰ φόβου παρίστασθαί τινι· τὸ δὲ "γυμνοὶ καὶ τετραχηλισμένοι", οἱ μετὰ φόβου καὶ κάτω τὰς κεφαλὰς ἔχοντες, οἱ γυμνοὶ καὶ ἀπερικάλυπτοι, ὑπὸ τῶν ἁμαρτιῶν ἐλεγχόμενοι, ἀπὸ μεταφορᾶς τῶν προβάτων τῶν ἐκδερομένων καὶ δεικνύντων τὴν ἔνδον θέσιν.

book 74 "ἡμεῖς γ' ἂν βούλῃ, ἀπολύομεν"· τοῦτο δέ φασιν ἀπολύσαντες αὐτόν. ἄλλως. "ἐὰν καί σοι δοκῇ" τὸ ἀπολυθῆναι, κατὰ παράλειψιν ἀττικήν, "ἀφήσομεν".

book 79a

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀνδρῶν: πεφυλαγμένως ποιεῖται τὴν πρὸς θεοὺς ὑπέρθεσιν, ἵνα μὴ θεῶν ὑπερτιθεὶς κἀκείνους πάθει προσζεύξῃ ἢ ὅτι ἐν σχήματι ἀνδρὸς ἐφάνη ὁ Πλοῦτος· δεῖ δὲ ἐννοεῖν αὐτὸν ῥυπῶντα καὶ ταπεινὸν τὸ σχῆμα.

book 79b διὰ τὸ φανῆναι ἐν σχήματι ἀνδρὸς τὸν Πλοῦτον τοῦτό φησιν.

book 83a τὸ “αὐτότατος” οὐ λέγεταί ποτε· τὰ γὰρ ἀόριστα τῶν πραγμάτων ἀνεπίτατα. εἰ οὖν ἀντωνυμία ἐπὶ οὐσίας λαμβάνεται, κατὰ τοῦτο ἐπίτασιν οὐ δέχεται ὡς τὰ ἄλλα μέρη. πέπαικται δὲ τοῦτο κωμικῶς.

book 83b παίζων λέγει· αἱ ἀντωνυμίαι οὔθ’ ὑπερθέσεις δέχονται οὔτ’ ἐπιτάσεις.

book 84a ἀπὸ τοῦ α στερητικοῦ καὶ τοῦ χέω· ὁ μὴ λουόμενος· τὸ δὲ ῦ πλεονάζει.

book 84b ἐκ Πατροκλέους: εἷς ἦν τῶν λακωνικὸν βίον ζηλούντων, ἀθηναῖος, πλούσιος μὲν σφόδρα, ὡς κακόβιος δέ τις καὶ φιλοχρήματος καὶ σκνιφὸς κωμῳδεῖται, ὅστις ἕνεκα τῆς φειδωλίας οὐδένα εἴα προσίεσθαι διὰ φυλακὴν τῶν χρημάτων καὶ γλίσχρου βίου.

book 87 ὁ Ζεύς με: παρῳδηται ἐκ τοῦ Ἡσιόδου· “ἔκρυψαν δὲ θεοὶ βίον ἀνθρώποισι”· καὶ γὰρ ἀνόσιος ὁ 〈διὰ〉 τῆς ἀρετῆς πλοῦτος τοῖς δικαίοις εἰ χαυνωθεῖεν ἐκ περιουσίας. ἐνταῦθα ἀπορία ἐστί· πῶς οὖν νοούμενος εἰς τὸ πρῶτον ὁ Ζεὺς αἴτιον καὶ μᾶλλον βουλόμενος τοὺς ἀγαθοὺς εὖ πράττειν, ἐτύφλωσε τὸν Πλοῦτον; λέγομεν οὖν ὅτι, εἰ πᾶσι τοῖς ἀγαθοῖς παρείπετο τὸ πλουτεῖν, πάντες ἂν δι’ αὐτὸ μετῄεσαν τὴν ἀρετήν· οὗτος δὲ βουλόμενος οὐ διά τι χρήσιμον καὶ ἐπωφελὲς μετιέναι ταύτην ἀλλὰ δι’ αὐτὸ τὸ καλόν, ἔσθ’ ὅτε καὶ ἀποτυχίαν χρημάτων τῷ βίῳ δίδωσιν, ἵν’ ἕκαστος ἐφίηται τῆς ἀρετῆς δι’ αὐτὴν τὴν ἀρετὴν καὶ μὴ διὰ τὸ ἐλπίζειν ὅτι πάντως διὰ τῆς ἀρετῆς εὐπορήσῃ χρημάτων.

book 88 ἐγὼ μὲν ὢν μειράκιον: τοῦτό φησιν, ἵνα τὸ προπετὲς τῆς ῥήσεως ἐπὶ τὴν ἡλικίαν ἀνενέγκῃ καὶ ἐπὶ τὸ ἐξημμένον, καὶ δόξῃ συγγνώμην ἔχειν ἡ ἁμαρτία, ὅτι μειράκιον ὢν ἠπείλησεν.

book 92 φθονέω φθονῶ τὸ ζηλῶ καὶ φθονόω φθονῶ τὸ ἄφθονον ποιῶ· ἔστι δὲ τυχόν τις ἐπίφθονος δι’ ἀρετήν.

book 98 ἄχρι τούτου φασὶ διὰ τοὺς Ἀθηναίους· σκώπτει γὰρ αὐτοὺς ὡς πονηρούς.

book 103 ἀντιβολῶ λέγεται τὸ ἐναντίως βάλλειν ἑαυτόν τις, ἤγουν ἔμπροσθεν τοῦ δεομένου· τινὲς δὲ λέγουσι τὸ ἐναντίον τοῦ βασιλέως πίπτειν. ἔστι δὲ τὸ πρῶτον κρεῖττον.

book 109 ἀτεχνῶς: ἀληθῶς· “τέχνη” γὰρ ὁ δόλος παρὰ τοῖς Ἀττικοῖς τὸ δὲ ἄνευ δόλου ἀληθές. ἔστιν “ἀτεχνῶς” οἷον καὶ ἀτενῶς μετὰ περισσοῦ τοῦ χ. ἄλλως. ἁπλῶς, ἄνευ τέχνης· ἐκ μεταφορᾶς τῶν ἀθλητῶν τῶν μὴ τέχνῃ νικώντων ἀλλὰ δυνάμει. εἰ δέ τις παρὰ τὴν τέχνην λέγει τι ἢ ποιεῖ, οὐκέτι περισπωμένως ἀλλὰ βαρυτόνως· “ἀτέχνως ποιεῖς, ἀτέχνως λέγεις”. ὁ γὰρ τόνος διαστέλλει τὸ σημαινόμενον, τήν τε τῆς τέχνης στέρησιν καὶ τὸ ἀδιάφορον τῆς χρήσεως. καὶ ὁ νοῦς· “κἂν φύσει τίς ἐστι χρηστός, ἐπὶ τὸ χεῖρον μεθίσταται ὑπὸ τῶν χρημάτων”.

book 111 δύο μέρη τοῦ λόγου τὸ “ἁπαξάπαντες”, ὑφ’ ἓν δὲ ταττόμενον, ὡς καὶ τὸ “ἁπαξαπλῶς”. “οὐ, φησὶ δέ, πάντες, ἀλλ’ ὁμοῦ πάντες”. τὸ γὰρ “ἁπαξάπαντες” ἐπιτάσεως χάριν λαμβάνεται.

book 115 ὀφθαλμίας: ἤγουν πηρώσεως. ὀφθαλμία γάρ ἐστι κυρίως ἡ ἐκ πάθους γινομένη πήρωσις.

book 121 περινοστεῖν: κυρίως μὲν νόστος ἡ ἀπὸ ἀλλοδαπῆς οἴκαδε ἄφιξις, καταχρηστικῶς δὲ καὶ ἡ ἀπὸ τόπου εἰς τόπον μετάβασις καὶ πορεία.

book 122 ὀρρωδῶ: ἀπὸ τοῦ ὄρρου ὅ ἐστι μεσοπύγιον τῆς περιστερᾶς· ἔστι γὰρ τρομερὸν τὸ μέρος· καὶ κυρίως μὲν ἐπὶ τοῦ τῶν ἀλόγων δέους λέγεται· πεποίηται δὲ παρὰ τὸ τὴν οὐρὰν δονεῖν ὅ ἐστι σείειν, δηλοῦν δὲ τὸ δέος· ἢ παρὰ τὸ ἐγκρύπτειν τούτῳ τῷ μέρει τὰ αἰδοῖα κατὰ τὴν τοῦ δέους διάθεσιν· ἢ ὅτι τῶν φοβουμένων εἴωθεν ὁ ὄρρος πρῶτον ἱδροῦν.

book 123

ἄληθες: ἐπίρρημα θαυμαστικόν· καὶ προπαροξύνεται ἀττικῶς.

book 125 καὶ τοὺς κεραυνούς: τὰ μέγιστα ἀμυντήρια τοῦ Διός· ἐκ δὲ τούτων τὴν δύναμιν αὐτοῦ λέγει.

book 127 ἆ: ἐπίρρημα τιμητικόν.

book 137 ὅτι οὐδ’ ἂν εἷς: ὅτι καὶ ἐπὶ τοῦ θυμιάσαι τὸ θύειν· ἐπὶ μὲν τοῦ βοὸς “σφάξειεν”, ἐπὶ δὲ τοῦ ψαιστοῦ “θυμιάσειεν”. κυρίως δὲ ψαιστὸν ἄλευρον ἐλαίῳ δεδευμένον, καταχρηστικῶς δὲ καὶ τὸ πόπανον.

book 138 ψαιστόν: ἀπὸ τοῦ ψῶ, τὸ λεπτύνω, καὶ τοῦ αἴθω.

book 146 οὐδὲν γὰρ ἀνθρώποις ἄνευ ἀργυρίου πράττεται.

book 147a ἰστέον ὅτι ἡ “ἔγωγε” ἀντωνυμία διαφέρει τῆς “ἐγώ” τῷ τὴν μὲν “ἔγωγε” ἐπὶ ἀρχῆς μόνον τίθεσθαι, καὶ ἔστιν ἀττικόν, τὴν δὲ “ἐγώ” ἐπὶ ἀρχῆς καὶ μεταξύ, καὶ ἔστι κοινή.

book 147b οὔτε γάρ τοι πολυτίμητοι οὔτε ἀξιόπιστοί εἰσιν οἱ δοῦλοι. ἐξηυτέλισε δὲ ἑαυτὸν πρὸς τὸ ἐπιτυχεῖν τοῦ σκοποῦ.

book 147c τὸ ἐκφράζειν τινά τι καὶ ἔρχεσθαι καὶ εἰς αὐτὰ τὰ λεπτότατά ἐστι τὸ σχῆμα τῆς ἀφελείας, οἷον λέγειν ἀργυρίδιον καὶ λοιπά. κυρίως δὲ ὑποκοριστικά εἰσι τὰ ἀπὸ κορίσκου πρὸς γραῦν ῥήματα.

book 148 τὸ πλουτεῖν κατὰ γραμματικοὺς ῥῆμα, κατὰ δὲ φιλοσόφους μετὰ τοῦ ἄρθρου ὄνομα, τὸ πλουτεῖν καὶ ὁ πλοῦτος, τὸ λέγειν καὶ ὁ λόγος, καὶ ἕτερα.

book 150 “πειρᾶν” κυρίως τὸ προσβάλλειν γυναικὶ περὶ τῆς ἀφροδίτης καὶ λόγους περὶ συνουσίας προσφέρειν· καὶ “πειραθῆναι” τὸ ἀκοῦσαι λόγους τοιούτους.

book 152 πρὸς τὸ ἐρεθίζειν αὐτούς· ἄτοπον δὲ τὴν γυναῖκα τὸ ἔμπροσθεν μόριον ἐπισείειν· σφόδρα δὲ ἄσημον τὸ βαδίζουσαν ἐγκρούειν τῷ πρωκτῷ.

book 155 ὅτι ἀρσενικῶς καὶ θηλυκῶς ὁ πόρνος· ζητείσθω δέ, εἰ καὶ οὐδετέρως.

book 156 δαί: σύνδεσμος ἐρωτηματικός· διὰ δὲ τὴν ἔκτασιν δίφθογγον γράφεται.

book 159 ἤτοι περικαλύπτουσι τὴν ἀσέλγειαν· μοχθηρίαν δέ, 〈τὴν〉 τοῦ ἀργυρίου ἐπιθυμίαν ἢ τὴν αἴτησιν. εἴρηται δὲ τὸ “περιπέττειν” ἢ ἀπὸ τοῦ περιπετάσματος ἢ ἀπὸ τῶν ζύμῃ τὰ ἄλφιτα περιλαμβανόντων καὶ τούτοις συγκαλυπτόντων αὐτήν· εἰώθασι γὰρ τὰ καταλιμπανόμενα ἀφ’ ἑκάστου ἄρτου μιγνύντες ποιεῖν ἄρτον. φησὶν οὖν καταχρῆσθαι τῷ ὀνόματι τοῦ ἵππου εἰς τὴν μοχθηρίαν.

book 160 οἷον μηχαναί, πλοίων κατασκευαί, τὰ διὰ λόγων σοφίσματα.

book 161 τὴν σύνταξιν τελευταῖον πρὸς τὸ οὐδέτερον ἀπέδωκε, λέγω δὴ τὸ “εὑρημένα” πρὸς τὸ “σοφίσματα”.

book 163 “τεκταίνω” σημαίνει δύο, τὸ κατασκευάζω καὶ τὸ περὶ τὴν τεκτονικὴν κατάγεσθαι.

book 164 ἡ μὲν ἀκρίβεια τοῦ χρυσοῦ εἰς τὸ χωνεῦσαι, τοῦ ἀργυρίου δὲ εἰς τὸ κόψαι.

book 165 ἰστέον δὲ ὅτι μειδιασμοῦ ἕνεκα παραπλέκει τὰ γελοῖα καὶ ἀστεῖα ταῦτα.

book 166 ὅτι οἱ παλαιοὶ Ἀττικοὶ διὰ τοῦ κ λέγουσι τὸ “γναφεύειν”· ἔστι δὲ κνάφος ἀκανθῶδές τι, ᾧ ξύουσι τὰ ἱμάτια· οἱ δὲ νεώτεροι διὰ τοῦ γ παρὰ τὴν γνάψιν. “κναφεύς” δὲ παρὰ τὸ κνῶ, ὃ σημαίνει τὸ ξύω. καὶ Ὅμηρος· “ἐπὶ δ’ αἴγειον κνῆ τυρὸν κνήστι χαλκείῃ.” “γναφεύς” δὲ παρὰ τὴν τοῦ φάρους γνάψιν, ἥτις ἐστὶ παρὰ τὸ γάνος, τὸ λαμπρόν.

book 168 ἔθος ἦν τὸν ἁλόντα μοιχὸν παρατίλλεσθαι, ἵνα δοὺς ἀργύριον ποινῆς λυθῇ. “παρατίλλεται” οὖν διασείεται τὰς τρίχας τοῦ πρωκτοῦ· αὕτη γὰρ ὥριστο δίκη τοῖς μοιχοῖς πένησιν, ἀποραφανίδωσις καὶ τιλμός. οἱ γὰρ πλούσιοι χρήματα παρέχοντες ἀπελύοντο. “παρατίλλεται”

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οὖν φησι διὰ τὸ ἀπορεῖν καὶ μὴ δύνασθαι χρήμασι λυτροῦσθαι τὴν φυγήν. δημοσίᾳ δὲ ταῦτα ἔπασχον.

book 170a μέγας δὲ: τὸν τῶν Περσῶν βασιλέα λέγει, ἤγουν τὸν Ξέρξην· μέγαν γὰρ ἔλεγον αὐτὸν διὰ τὸ πλείονι δυνάμει χρῆσθαι περσικῇ. "κομᾷ" δὲ εἶπε, τουτέστι τῇ περιουσίᾳ τῆς ἀρχῆς, ἀπὸ τῶν μέγα φρονούντων τῇ κόμῃ.

book 170b ἀπὸ Περσέως τινὸς γήμαντος τὴν Ἀνδρομέδαν καὶ ἐξ αὐτῆς γεννήσαντος τέκνα ἐκλήθησαν Πέρσαι· ἢ ἀπὸ Πέρσου Αἰγύπτου· Κηφῆνες γὰρ ἐκαλοῦντο πρώην.

book 171 ἵνα πόρον εὕρῃ χρημάτων. ἐκκλησιάζομεν γὰρ ἢ τῶν ἰδίων τι σῶσαι βουλόμενοι ἢ τῶν ἀλλοτρίων σφετερίσασθαι. διαβάλλει δὲ τὸ ἐπὶ φιλονεικίᾳ τῶν Ἀθηναίων τριώβολον.

book 172 τριήρεις: οἱ γὰρ εὔποροι τῶν τριηραρχῶν πλείονας ναύτας ἔτρεφον καὶ διὰ τοῦτο ἐπλήρουν τὰς ναῦς, οἱ δὲ πένητες οὐδαμῶς.

book 173 τὸ δ' ἐν Κορίνθῳ: ὡς τῶν Ἀθηναίων δι' ἑαυτῶν μὴ βουλομένων πολεμεῖν πρὸς Κορινθίους διὰ τὸν κίνδυνον, μισθωσαμένων δὲ ξένους εἰς πόλεμον καὶ τρεφόντων αὐτούς· τοῦτο δὲ ἐν τοῖς πολλοῖς τῶν πολέμων διεπράττοντο. ἄλλως. φασί τινες ὅτι Κορινθίοις ἀδικουμένοις ὑπὸ Λακεδαιμονίων συμμάχους πέμψαι Ἀθηναίους, οὓς ἔτρεφον Κορίνθιοι. ἦν δὲ ὁ καταστήσας τοὺς ξένους ἐν Κορίνθῳ Κόνων ὁ Ἀθηναίων στρατηγὸς καθελὼν Λακεδαιμονίους, ὅπως φυλάττῃ τὴν ἔφοδον αὐτῶν. ἄλλοι δέ φασιν ὅτι τοὺς Κορινθίους ὑφορωμένους τοῖς Ἀθηναίοις ξενικὸν τρέφειν συμμαχίας χάριν.

book 174a ὅτι ὁ Πάμφιλος οὗτος δημαγωγὸς ἦν οἱονεὶ πολιτευόμενος· ἔκλεπτε δὲ τὰ τοῦ δήμου, ὡς ὁ Πλάτων φησί. "καὶ νὴ Δία Πάμφιλόν γε φαίης κλέπτειν τὰ κοινά, ἀλλὰ δὴ καὶ συκοφάντης". οὗτος οὖν ἁλοὺς ἐπὶ κλοπῇ τῶν δημοσίων χρημάτων ἀθρόως ἐξέπεσε δημευθεὶς ταύτην δίκην πεπονθώς. τὸν δὲ Βελονοπώλην παράσιτόν τινές φασι τοῦ Παμφίλου· ἀνάγκη οὖν καὶ αὐτὸν συνδυστυχεῖν αὐτῷ· καὶ ὡς δανεισταὶ ἐν Ἀθήνησι διαβάλλονται. ἀντὶ [δὲ καὶ] τοῦ εἰπεῖν "πλουτοῦσι" φησὶν "οὐχὶ κλαύσονται;"

book 174b δημαγωγὸς ἦν, ἔκλεπτε δὲ τὰ τοῦ δήμου· ὡς ἔοικε δὲ ἔζη, ὡς ἔστι μαθεῖν ἀπὸ τοῦ μέλλοντος "κλαύσεται".

book 176 πέρδεται: στρηνιᾷ πλουτῶν. ἐπὶ μαλακίᾳ οὖν διαβάλλεται, ὡς καὶ πορδὰς ἀφιέναι. καὶ εἰς θρασύτητα δὲ αὐτὸν κωμῳδοῦσιν.

book 177 Φιλέψιος: οὗτος, πένης ὤν, λέγων ἱστορίας ἐτρέφετο. ὡς τερατώδης διαβάλλεται.

book 178 ἡ ξυμμαχία: ἐπὶ Ἀμάσιδος Αἰγυπτίων βασιλέως ἐν σιτοδείᾳ ὄντες οἱ Ἀθηναῖοι ἔπεμψαν πρὸς αὐτὸν αἰτοῦντες σῖτον· καὶ ἔπεμψεν αὐτοῖς ἱκανόν. ἐκ τούτου Ἀθηναῖοι ἔπεμψαν τοῖς Αἰγυπτίοις συμμαχίαν εἰς τὸν τῶν Περσῶν πόλεμον, καὶ εἶχον φιλίαν καὶ ξυμμαχίαν πρὸς ἀλλήλους. ἄλλως. ὅτε ὁ Ξέρξης ἐπ' Αἰγυπτίους ἐστρατεύετο, οἱ Ἀθηναῖοι συμμαχίαν αὐτοῖς ἀπέστειλαν.

book 179 ἐρᾷ δὲ Λαΐς: ἰστέον δὲ ὅτι Φιλωνίδην οὐ τὸν ποιητήν φησι τὸν ἐν τοῖς ἀριστοφανείοις γεγραμμένον δράμασιν, ὡς οἱ περὶ Καλλίστρατον πλανηθέντες τῇ ὁμωνυμίᾳ εἶπον, ἀλλὰ παιδιᾶς ἕνεκε τὸν αἴσχιστον καὶ ἀπαίδευτον. κωμῳδεῖται δὲ [ὡς πλούσιος] καὶ εὔπορος ἐν Κορίνθῳ καὶ ὡς μέγας τῷ σώματι καὶ ἠλίθιος. τούτου δὲ προσεποιεῖτο ἐρᾶν διὰ πλοῦτον Λαΐς, ἣ Διογένης ὁ φιλόσοφος ἐπιγράφει τῆς ἑλληνικῆς ἀκρασίας τὸ τρόπαιον· ἥτις ἐκ Καρῶν τῆς Σικελίας ἦν. ταύτην δὲ Φιλοξένῳ τῷ διθυραμβοποιῷ δέδωκε Διονύσιος ὁ ἐν Σικελίᾳ τύραννος. εἰς Κόρινθον οὖν ἦλθεν ἅμα τῷ Φιλοξένῳ καὶ

book 179 ἐπίσημος ἐκεῖ ἐγένετο καὶ ἐφιλήθη ὑπὸ πάντων καὶ περιβόητος ἦν ἑταιρίς. ὡς δὲ ἕτεροι λέγουσιν ὅτι ἅμα Ἀλεξάνδρῳ ἐπεδήμησεν εἰς Πέρσας ἐκ τῆς Κορίνθου· ἐπισημοτέρα δὲ γέγονε

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τῆς μητρὸς ἐν Κορίνθῳ· ὕστερον δὲ ἀπεδήμησεν εἰς Θεσσαλίαν, καὶ ἐκεῖ τινος Εὐρυλόχου, ὡς δέ τινες Ἀριστονίκου, ἠράσθη, παρ' ᾧ καὶ ἐβίωσε τὸν λοιπὸν χρόνον. αὐτῆς δὲ πολλοὶ τῶν Θετταλῶν ἠράσθησαν καὶ τῷ ἔρωτι τὰ πρόθυρα αὐτῆς οἴνῳ ἔρραινον. ζηλοτυπήσασαι δὲ αἱ θετταλαὶ γυναῖκες ἐφόνευσαν αὐτὴν ξυλίναις χελώναις τύπτουσαι ἐν τῷ ἱερῷ Ἀφροδίτης, πανηγύρεως οὔσης, ἐν ᾗ ἄνδρες οὐ παρεγίνοντο.

book 179 διὸ τούτου ἕνεκε λοιμὸς κατέλαβε τοὺς Θετταλούς, ἕως ὕστερον ἱερὸν ἐποίησαν ἀνοσίας Ἀφροδίτης, ἐπειδὴ αἱ γυναῖκες ἐν τῷ ἱερῷ ἀνόσιον τετολμήκασι φόνον.

book 180a ὁ Τιμοθέου δὲ πύργος: ὅστις πλούσιος ἅμα καὶ ὄλβιος ὢν ἀνὴρ καὶ στρατηγὸς Ἀθηναίων, τεῖχος οἰκοδομήσας μέγα καὶ θαυμαστόν, εἰς τοσοῦτον ἤρθη τῆς τύχης, ὡς τὴν δαίμονα ὄψει φαίνεσθαι τούτῳ. καὶ ἐν Ἀθήναις δὲ ἐν εἰκόσιν ἐποίουν αὐτὸν κοιμώμενον οἱ ζωγράφοι καὶ τὰς Τύχας εἰς δίκτυα τὰς πόλεις φερούσας αὐτῷ, καὶ πορθοῦντα αὐτάς, αἰνιττόμενοι τὴν εὐδαιμονίαν αὐτοῦ. ἀλαζονευόμενος δὲ ἐπὶ τῇ εὐτυχίᾳ αὐτοῦ, ἔφη μᾶλλον αὐτοῦ εἶναι ἢ τῆς Τύχης τὰ πραττόμενα. διὸ καὶ ἠτύχησεν ὕστερον, νεμεσησάσης αὐτῷ τῆς Τύχης.

book 180b λείπει "οὐχὶ διὰ τοῦτον ἐγένετο;" τὸ σχῆμα παρ' ὑπόνοιαν.

book 180c τὸ δὲ "ἐμπέσοι γέ σοι" παρ' ὑπόνοιαν, δέον εἰπεῖν "ὑψηλὸς πάνυ καὶ θαυμαστός".

book 185 ἐπικαθέζηται: ἀπὸ μεταφορᾶς τῶν ζυγῶν· καθέζεσθαι γὰρ τὸ βαροῦν λέγεται.

book 189 ὡς Ὅμηρος· "πάντων μὲν κόρος ἐστὶ καὶ ὕπνου καὶ φιλότητος μολπῆς τε γλυκερῆς καὶ ἀμύμονος ὀρχηθμοῖο".

book 190 ἄρτων: τὰ πρὸς τὴν γαστέρα φησὶν ὁ δοῦλος, παραπλέκει δὲ ὁ ποιητὴς πρὸς τὸ θυμῆρες τῆς κωμῳδίας τοῖς σπουδαίοις καί τινα παικτά.

book 192a ἰστέον ὅτι εὑρίσκεται καὶ φακὸς τὸ ἀγγεῖον ἐν τῇ Παλαιᾷ, ὥσπερ φησίν· "ἀπῆρε τὸν φακὸν καὶ ἦλθεν ὑδρεύσασθαι".

book 192b φακῆς: θηλυκὸν ἡ ἑψημένη, ἀρσενικὸν δὲ ὁ ἀνέψητος.

book 199 πλὴν ἓν μόνον: τυφλὸς γὰρ ὢν οὐ δύναμαι ἀπελθεῖν, εἰ καί μοι τοσαύτη δύναμίς ἐστι· δέον οὖν ἀναβλέψαι με.

book 202 ὅτι τὸ "νὴ Δία" κατωμοτικόν, ἀντὶ τοῦ "ἔσῃ κύριος τῆς δυνάμεως".

book 203 δειλότατόν: λέγεται περὶ τῶν πλουσίων, ὅτι δειλοί εἰσι διὰ τὸ ἀγωνιᾶν περὶ τῶν χρημάτων. αἰνίττεται δὲ εἰς Εὐριπίδην· ἐκεῖνος γάρ φησι· "δειλὸν δ' ὁ πλοῦτος καὶ φιλόψυχον κακόν".

book 204 τοιχωρύχος: ἰστέον ὅτι περὶ πολλοῦ ποιοῦνται τὴν ἀσφάλειαν οἱ πλούσιοι· καί τις τῶν κωμικῶν φησι· "τί ποτ' ἐστὶ χλωρόν, ἀντιβολῶ, τὸ χρυσίον; δέδοικ', ἐπιβουλευόμενον ὑπὸ πάντων ἀεί". οἱ γὰρ εὔποροι τῷ φόβῳ τοῦ μὴ ληφθῆναι τὰ χρήματα δειλότεροί εἰσι· τὸ ἐπ' ἐκείνων οὖν μετήνεγκεν ἐπὶ τὸν Πλοῦτον.

book 206 ἁπαξάπαντα: ἀντὶ τοῦ "τέλεον"· ἀττικὸν δέ ἐστιν ὡς τὸ "πώμαλα".

book 207 πρόνοιαν: διότι ἐπρονοησάμην αὐτοῦ, ἐκάλεσάν με δειλόν. ἢ τὸ πρόβουλον τῶν ἐχόντων με.

book 209 ἀνὴρ πρόθυμος: ἤτοι ἐὰν προθυμηθῇς καλῶς μετελθεῖν τὰ πράγματα, ὡς τοῖς μὲν δικαίοις συνεῖναι. τοῖς δὲ πονηροῖς μηδαμῶς.

book 210 ὀξύτερον Λυγκέως: ὅτι τοσοῦτον ὀξυωπέστατος ἦν, ὡς καὶ δι' ἐλάτης ἰδεῖν Κάστορα τὸν Πολυδεύκην δολοφονήσαντα τὸν ἀδελφόν, ὥς φησι Πίνδαρος καὶ Ἀπολλώνιος περὶ τούτου ἐν τοῖς Ἀργοναυτικοῖς· "εἰ ἐτεόν γε πέλει κλέος, ἀνέρα κεῖνον ῥηϊδίως καὶ ἔνερθεν ὑπὸ χθονὸς αὐγάζεσθαι". γεγόνασι δὲ Λυγκεῖς διάφοροι· παῖς Αἰγύπτου, καὶ ἄλλος Ἀφαρέως παῖς, ὁ λάκων, λέγεται Λυγκεύς, καὶ οὗ μέμνηται Θεόκριτος, ὃς ἐλέγετο πάνυ ὀξυδερκέστατος, ὥστε καὶ τὰ ὑπὸ γῆν ὁρᾶν. οὕτω μὲν μυθολογοῦσι· πρὸς δὲ τὸ πιθανὸν τοῦ λόγου ἐπινενόηται, ὅτι πρῶτος

οὗτος εὗρε μέταλλα χρυσοῦ καὶ σιδήρου καὶ τῶν ἄλλων· καὶ διὰ τοῦτο ἐρρήθη τὰ ὑπὸ γῆν ὁρᾶν, ἐπειδὴ καὶ τὰ εἰρημένα τύχῃ τινὶ ἐπενόησε καὶ ἐξεῦρεν.

book 215 τὸ ω τὸ μέγα καὶ τὸ α συναλειφόμενά ἐστιν ἀττικόν· τὸ δὲ ο τὸ μικρὸν καὶ τὸ α κιρνᾶται.

book 219 ἄλφιτα: ἀπὸ μέρους τὸ πᾶν· ἀπὸ γὰρ τῶν ἀλφίτων τὴν περιουσίαν δηλοῖ.

book 220 ἐπιπόνους ἀτυχεῖς ἀθλίους γεωργοὺς τοὺς εὐτελεῖς ἔχοντας βίους.

book 221 οὐκ: οὐκ ἔσονται, φησί, πόνηροι καὶ ἐπίπονοι καὶ ἀσθενεῖς.

book 222 πρὸς τὸν θεράποντα ὁ λόγος.

book 223 “ξυγγέωργος” βαρυτόνως· σύνθετον γὰρ ὡς “πάγκαλος, πάνσοφος”· τὰ γὰρ εἰς ὀξύτονα συντιθέμενα βαρύνεται.

book 227 τοῦτο δὴ τὸ κρεάδιον: ὃ ἔρχεται ἀπὸ θυσίας ἔχων ἐκ τῶν Δελφῶν. οἱ γὰρ ἐκ θυσίας ἰόντες ἔφερον ἐξ αὐτῆς τοῖς οἰκείοις κατὰ νόμον τινά. ἄλλως. ὅπερ ἧκον ἄγοντες λοιπασθὲν ἀπὸ τῆς θυσίας. ἔνιοι δὲ τὸ λεβήτιον.

book 230 “σὺ δ’ ὦ κράτιστε” ἐγκωμιάζων τοῦτόν φησιν, ἢ ὅτι, ὡς προεδίδαξε, καὶ θεῶν δι’ αὐτὸν ὁ Ζεὺς βασιλεύει.

book 233 τὸ “ἀδίκως” ἁπλῶς ἔρριπται οἷον “πάσῃ τέχνῃ”· οὐ γὰρ ὑπόκειται αὐτῷ “ἄδικος οὗτος”· οὐκ ἀπειλεῖται δέ, ἀλλὰ μειλικτικῶς προσαγγέλλει.

book 237 φειδωλός τις ὢν ὁ φεύγων τοῦ δοῦναι· τινὲς παρὰ τὸ φείδομαι καὶ τὸ δοῦναι, φειδωδός τις ὢν καὶ τροπῇ τοῦ δ εἰς λ φειδωλός.

book 238a αἱ περισσαὶ προθέσεις δηλοῦσι 〈τὴν ὑπερβολὴ τῆς φιλαργυρίας.〉

book 238b ὅρα ὑπερβολήν.

book 242 παραπλῆγα: παράφρονα, ἀπὸ μεταφορᾶς τῆς μουσικῆς τῆς παρὰ τὸ δέον πληττομένης καὶ κρουομένης· ἔοικε γὰρ καὶ ὁ ἄνθρωπος τριχόρδῳ λύρᾳ κατὰ τὸ λογικόν, θυμικὸν καὶ ἐπιθυμητικόν. ὅταν οὖν κυριεύσῃ τὸ λογικὸν τοῦ θυμικοῦ καὶ ἐπιθυμητικοῦ, τότε εὐρύθμως ᾄδει ἡ τοιαύτη χορδή, ἤγουν λέγει λόγους συνετοὺς καὶ ἐμμελεῖς. ὅταν δὲ κυριεύσωσι τό τε θυμικὸν καὶ ἐπιθυμητικὸν τοῦ λογικοῦ, τότε λέγομεν “παραπλήττει”, ἐξ οὗ καὶ ὁ παραπλήξ. ἵνα δὲ τὴν ὑπερβολὴν τῆς φιλαργυρίας σημάνῃ προκεκριμένης καὶ τῶν χρηστῶν φίλων, “παραπλῆγα” ἤτοι τὸν ἄφρονα καὶ μωρόν, ἀπὸ τῶν κρουμάτων τῶν διαπεπτωκότων τοῦ ἐναρμονίου λυρισμοῦ. ἀληθῶς γὰρ ἡ ἀσωτία παραπεπληγμένη ἐστὶ διάνοια.

book 243 ἀπὸ μεταφορᾶς τῶν στρατιωτῶν τῶν παραβαλλομένων ἔμπροσθεν ἐν τῷ πολέμῳ.

book 244a ἐν ἀκαρεῖ χρόνῳ: τῷ ἐλαχίστῳ. σημαίνει δὲ τὸ βραχύτατον τοῦ χρόνου ὅπερ οὐχ οἷόν τε διακόψαι. πεποίηται δὲ ἀπὸ τῶν μικρῶν τριχῶν τῶν. διὰ βραχύτητα μὴ δυναμένων καρῆναι. ἀκαρὲς γὰρ τὸ ἄτμητον. ἔστι δὲ ἐπιρρηματικὸν ὄνομα. ὅπερ δὲ πάσχουσιν ἐκεῖνοι οἱ παραπλῆγες ἄνθρωποι δι’ ἀσωτίαν γυμνούμενοι, τοῦτο εἰς ἑαυτὸν μετήγαγεν.

book 244b Καρὶ ι· ἀκαρῆ η· ἐν ἀκαρεῖ δὲ δίφθογγον.

book 246 τὸ “πῶς” θαυμαστικόν ἐστι· θαυμάζει γὰρ αὐτὸν ὡς ἀεί ποτε σύμμετρον ὄντα. “μετρίου” δὲ λέγει “ἀνδρός”, τοῦ διαμετροῦντος ἑαυτοῦ τὸ ζῆν.

book 247 χαίρω: ἀρετῆς γάρ ἐστι τὸ τῷ δέοντι καιρῷ ἁρμοζόντως καὶ φείδεσθαι καὶ δαπανᾶ.

book 249a ἰδεῖν σε: οὐχ ἵνα ὁ Πλοῦτος ἴδῃ τὴν γυναῖκα καὶ τὸν υἱόν, ἀλλ’ ἵνα ἐκεῖνοι τὸν Πλοῦτον ἴδωσιν· οὕτω γὰρ πρέπει. ἀττικὸν δὲ τὸ πλεονάζειν τοῖς ἄρθροις.

book 249b ὅταν κεῖνται δύο αἰτιατικαὶ καὶ ἓν ῥῆμα ἀπαρέμφατον, ἔστιν ἀμφιβολία, τὸ “σέ” καὶ “τὴν γυναῖκα” καὶ τὸ “ἰδεῖν”.

book 251

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πείθομαι: οἶδα γὰρ ὅτι καὶ τέκνων προτιμᾷς τὸν Πλοῦτον. χαριέντως δὲ τοῦτό φησιν.

book 253 ταὐτὸν θύμον: ἀντὶ τοῦ “τῆς αὐτῆς πενίας μετασχόντες”. θύμος δέ ἐστιν εἶδος βοτάνης εὐτελοῦς. τινὲς δέ φασιν ὅτι παρῴδηται ἐκ τῶν Ἡσιόδου· “οὐδ’ ὅσον ἐν μαλάχῃ τε καὶ ἀσφοδέλῳ μέγ’ ὄνειαρ”. ἢ ἀντὶ τοῦ “ὦ δίκαιοι”—πρὸς τὸν χορὸν τῶν γερόντων ὁ θεράπων φησί— “τὰ εὐτελῆ θέλοντες ἐσθίειν διὰ τὸ μὴ ἐθέλειν ἀδικεῖν”. ἅμα δὲ καὶ τὸ τραχὺ τῆς γῆς διαβάλλει. οὐδετέρως δὲ τὸ θύμον λέγει καὶ βραχυκαταλήκτως καὶ βαρυτόνως. ἐκτεινόμενον γὰρ καὶ ὀξυνόμενον δηλοῖ τὴν ψυχήν.

book 255a ἐγκονεῖτε: ἀντὶ τοῦ “ἐνεργεῖτε, ταχύνατε”, ἐπεὶ οἱ τρέχοντες κόνεως πληροῦνται. ἢ ἀπὸ τῶν ἀθλητῶν· ἐν κόνει γὰρ ἐκείνων τὸ ἔργον.

book 255b οὐχὶ μέλλειν: οὐ τοῦ μέλλειν καὶ ἀναβάλλεσθαι καιρός ἐστιν, ἀλλὰ τοῦ σπεύδειν καὶ κόνιν πέμπειν. τὸ μέλλειν, ὅταν ἐπὶ ἀναβολῆς καὶ βραδυτῆτος, διὰ δύο λλ γράφεται· ὅταν δὲ ἐπὶ φροντίδος, δι’ ἑνός.

book 257 ὅτι τὸ “πάλαι” οὐ μόνον βραδυτῆτος ἐπίρρημα ἀλλὰ καὶ ταχυτῆτος.

book 259 τὸ δὲ λοιπὸν ἐν ὑπερβατῷ συντακτέον, ἵν’ ᾖ τοιοῦτον· “καὶ ταῦτα πρὶν πρὸ τοῦ φράσαι μοι ὅτου καὶ τίνος χάριν”

book 261 οὐκοῦν πάλαι: σύνδεσμος ἀποδεικτικός. παίζει δὲ τοὺς γέροντας καὶ μηδὲν εἰπὼν ὑποκρίνεται εἰρηκέναι, διὰ τὸ αὐτῶν τὰ ὦτα γήρατος πεπληρῶσθαι. ἐπεγγελᾷ δὲ τῷ ἀμυδρῷ τῶν αἰσθήσεων διὰ τὸ γῆρας.

book 266 ῥυσσόν: ῥυτίδας ἔχοντα. νωδόν: ὀδόντας μὴ ἔχοντα διὰ τὸ γῆρας· οὐ γὰρ δὴ ἄφωνον. μαδῶντα δέ, φαλακρόν, ἀπὸ τοῦ δέεσθαι μαλλοῦ. ἢ καθόλου τρίχας μὴ ἔχοντα. ψωλὸν δέ, ἀσχήμονα κατὰ παρέκτασιν τοῦ μορίου.

book 268 ὦ χρυσὸν: ἀττικῶς ἡ σύνταξις, ἀντὶ τοῦ “ὦ πλοῦτον ἐκ τῶν ἐπῶν ἀγγείλας” ἢ ἀντὶ τοῦ “τιμιώτατον εἰπὼν λόγον”.

book 269a ἀπὸ κοινοῦ τὸ “δηλῶ”, διὰ τὸ γήρᾳ ἕπεσθαι τὰ τοιαῦτα.

book 269b σωρὸς δέ ἐστι κυρίως τὸ ἐκ μικρῶν σπερμάτων συναγόμενον πλῆθος, παρὰ τὸ σῶ, ὅ ἐστι σῴζω, συνάγω. καλῶς οὖν ἀπὸ τῶν καρπῶν φαίνονται εἰρηκότες· οἱ γὰρ εὐθυνοῦντες καὶ πλούσιοί εἰσιν. ἢ ὡς γεωργοὶ ταύτῃ κέχρηνται τῇ παραβολῇ.

book 271a ἀπὸ τοῦ φαίνεσθαι τὸ κάρα. κρόταφος· ἀπὸ τοῦ κηρύσσειν τὸν τάφον.

book 271b φενάκη· τὸ προκόμιον, οἷον τοῦ φαινομένου κρανίου τὸ ἄκος ἤτοι σκέπη. φενάκη κυρίως ἡ προσθετὴ καὶ ἐπιτηδευτὴ κόμη, ἀπὸ τῶν κατερρυηκυιῶν τριχῶν τῶν γυναικῶν καὶ οὕτως ἀπατουσῶν διὰ τὸ ἐπείσακτον τῆς κόμης.

book 271c ἀπὸ τοῦ αἰκίζειν τὰς φρένας· ἡ γὰρ ἀπάτη αἰκίζει τὰς φρένας.

book 272a ἀζήμιος: ἀβλαβής. κυρίως δὲ ζημία ἡ τῆς. ζωῆς μείωσις.

book 272b βακτηρίαν ἔχοντα: ὅτι πάντες οἱ γέροντες ἐν ταῖς Ἀθήναις δύο βακτηρίας ἐβάσταζον, ἢ διὰ τὸ ἐπερείδεσθαι αὐταῖς ἢ διὰ τὸ ἀμύνεσθαι ταύταις μὴ δυναμένους χερσίν. ἐτυμολογεῖται δὲ βακτηρία παρὰ τὸ τὴν βάσιν τηρεῖν. βακτηρία δὲ καὶ ὁ χάραξ, ἀπὸ τοῦ τηρεῖν τὸν Βάκχον ἤτοι τὴν ἄμπελον. ῥᾶβδος δὲ καὶ βακτηρία διαφέρει· ῥᾶβδος μέν ἐστιν ἡ ποιμαντική, βακτηρία δὲ ἡ τοῦ γήρως ἀνάπαυσις. γίνεται δὲ ῥᾶβδος παρὰ τὸ ῥάπτω, τὸ ῥαπίζω, ῥάπδος· καὶ ἐπεὶ ψιλὰ ψιλῶν ἡγεῖται καὶ

book 272b δασέα δασέων καὶ μέσα μέσων, τρέπεται τὸ π εἰς β, καὶ γίνεται ῥᾶβδος. ἐτυμολογεῖται δὲ 〈καὶ〉 παρὰ τὸ ῥᾷον βαίνειν ἐν τῇ ὁδῷ.

book 276

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἰοὺ ἰού: σχετλιαστικόν, ὡς θλιβομένων τῶν πεπεδημένων· ὅτι αἱ χοινικίδες πέδαι τινές εἰσι· χοῖνιξ δὲ πᾶν περιφερὲς καὶ εἶδος μέτρου περσικοῦ· χρῶνται δὲ τούτῳ οἱ Πέρσαι ἀντὶ μεδίμνου. διὸ καὶ τὸ μέτρον χοῖνιξ καλεῖται.

book 277 παρὰ τοῖς Ἀθηναίοις δέκα ἦσαν φυλαί. ἔθος οὖν ἀπὸ πασῶν τῶν φυλῶν δικαστὰς καθίζειν· εἶτα ἀπὸ μιᾶς ἑκάστης ἐλάμβανον ἄνδρας πέντε τοὺς ἐπισημοτέρους καὶ ἐξ αὐτῶν τὸν ἕνα τὸν κλήρῳ λαχόντα ἐποίουν δικάζειν. ἀντὶ τοῦ εἰπεῖν οὖν “ἐν τῷ δικαστηρίῳ τὸ γράμμα καὶ τὸ ψήφισμα, ὅ ἐστιν ὁ κλῆρος, ἐπέλαχε δικάζειν σε καὶ δικαστὴν καθέζεσθαι”, ὡς πρὸς ἕτερον τὰ παρ’ ὑπόνοιαν παίζει. ἄλλως. ἐν ταῖς Ἀθήναις πολλὰ ἦν δικαστήρια, καὶ ἔν τισι μὲν ἐδίκαζον περὶ φονικῶν πραγμάτων, ἔν τισι δὲ περὶ δημοτικῶν· καὶ ἕκαστον τούτων εἶχεν ἕν τι τῶν στοιχείων ἰδικὸν ὄνομα, οἷον ἦν τι τῶν δικαστηρίων λεγόμενον ἄλφα, ὁμοίως ἄλλο βῆτα ἄλλο γάμμα καὶ ἑξῆς τὸ δ, τὸ ε καὶ τἄλλα. δέκα γὰρ ἦν τὰ δικαστήρια ἐν Ἀθήναις τὰ πάντα, καὶ πρὸς θυρῶν δὲ ἑκάστου δικαστηρίου ἐγέγραπτο πυρρῷ βάμματι τὸ στοιχεῖον, ᾧτινι

book 277 τὸ δικαστήριον ὠνομάζετο. ὅσοι δὲ δικασταὶ ἦσαν ἐν Ἀθήναις, ἕκαστος αὐτῶν καθ’ ἕκαστον δικαστήριον δέλτον εἶχεν, τουτέστι πινακίδιον, ἐν ᾧ ἦν γεγραμμένον τὸ ὄνομα αὐτοῦ καὶ τοῦ δικαστηρίου, καὶ ῥᾶβδον ἅμα τῷ πινακιδίῳ· ἦν δὲ καὶ αὐτῇ τῇ ῥάβδῳ τὸ ὄνομα τοῦ δικαστηρίου ἐγγεγραμμένον. ὅτε οὖν συνέβαινε καιρὸς τοῦ δικάζειν, ἀπήρχοντο πάντες οἱ δικασταὶ εἰς τὴν ἀγορὰν κἀκεῖ κλήρους ἔβαλλον· καὶ ὅστις ἂν ἐκληροῦτο κλῆρον τὸν ἔχοντα τὸ α, ἀπήρχετο εἰς τὸ ἄλφα δικαστήριον, καὶ ὁμοίως εἰς τὸ βῆτα καὶ τὰ ἐφεξῆς. ἀπήρχετο δὲ καὶ πρῶτον μὲν ἐδείκνυ τῷ κήρυκι τοῦ δικαστηρίου τὸν κλῆρον τοῦ στοιχείου· ὁ δὲ κῆρυξ λοιπὸν ἐδίδου αὐτῷ τὸ πινακίδιον αὐτοῦ καὶ τὴν ῥᾶβδον, εἶτ’ οὕτως ἐδίκαζεν. εἰ δέ τις δικαστὴς εἰσῄει μὴ κληρωθεὶς εἰς τὸ δικαστήριον, διαφόρως ἐζημιοῦτο.

book 278 ὁ δὲ Χάρων τὸ ξύμβολον: τοῖς λαχοῦσι δικάσαι εἰσελθοῦσιν ἐν τῷ δικαστηρίῳ ἑκάστῳ σύμβολον δίδοται δημόσιον παρὰ τῆς ἐπὶ τούτου εἰληχυίας ἀρχῆς, ἵνα ἐξιόντες καὶ τοῦτο προφέροντες λαμβάνοιεν τὸν δικαστικὸν μισθόν. εἰπὼν οὖν “σορόν” ἐπήγαγε “Χάρων”. ἔδει δὲ εἰπεῖν “ὁ ἄρχων τὸ σύμβολον δίδωσιν”—οὗτός ἐστιν ὁ δικαστικὸς μισθός—, ἤμειψε δὲ τοῦτο γελοιωδῶς εἰπὼν “Χάρων”, ὡς γερόντων αὐτῶν ὄντων καὶ μελλόντων θανεῖν.

book 279a ὡς μόθων εἶ: εἶδός ἐστιν αἰσχρᾶς καὶ δουλοπρεποῦς ὀρχήσεως· οἱ δὲ Λάκωνες τοὺς περιτρεφομένους τοῖς ἐλευθέροις μόθωνας καλοῦσι. μόθων δέ ἐστιν ὁ φλύαρος καὶ φορτικὸς καὶ ἄτιμος καὶ αἰσχρός, ἀπὸ Μόθωνός τινος αἰσχροποιοῦντος καὶ ἀεὶ ἐν τοῖς πότοις ὀρχουμένου.

book 279b κόβαλοι δαίμονές εἰσι σκληροὶ περὶ τὸν Διόνυσον.

book 287 ὅτι ὁ Μίδας βασιλεὺς ὢν Φρυγίας πλουσιώτατος ὦτα ὄνου ἐλέγετο ἔχειν, ἀπὸ τοῦ ζῴου ὅπερ μᾶλλον τῶν ἄλλων ζῴων ἀκούει πλὴν μυός, ἢ ὅτι πολλοὺς ὠτακουστὰς εἶχέ τε καὶ πευθῆνας ὅ ἐστιν ἐπισκόπους ἀγγέλους. οἱ δέ φασιν ὡς ψέξας ποτὲ τὸν Διόνυσον ὁ Μίδας μετεβλήθη εἰς ὄνον, ἢ ὡς τὰς ὄνους τοῦ Διονύσου παριὼν ἠδίκησε—διὸ ὀργισθεὶς αὐτῷ ὁ θεὸς ὦτα ὄνου αὐτῷ περιῆψεν—ἢ ὅτι φύσει μεγαλώτης ἦν. λέγεται δὲ τούτῳ τὸν Πακτωλὸν χρυσὸν ῥεῦσαι καὶ πάλιν εὔξασθαι ὡς πάντα γενέσθαι χρυσὸν ὧν ἂν ἅψαιτο. ἱστορία. [[ὁ]] Μίδας πρὶν πόνου δίχα δὴ λαβὼν τὴν βασιλείαν, ὡς ὁ Σαούλ, ὡς ὁ Δαβίδ, ὡς Τούλλιος ὁ Σέρβος,

book 287 Μίδας γὰρ οὗτος ἁμαξεὺς ὢν τῶν ἀροτρευόντων, βόας λαβὼν καὶ ἄροτρον, ἐξῆλθεν ἀροτρεύσων· οἱ Φρύγες δ’ ἀναρπάξαντες ποιοῦσι βασιλέα· ἄνακτος γὰρ χηρεύοντες συνέθεντο συνθήκας τὸν πρώτως διερχόμενον ποιῆσαι βασιλέα. οὕτω τὸ κράτος δὲ λαβὼν Μίδειαν πόλιν κτίζει, ἣν δι’ ἰῶτα γράφειν σε χρεὼν σὺν τῇ διφθόγγῳ, Μήδειαν τὴν Αἰήτου δὲ ἦτα σὺν τῇ διφθόγγῳ, Μηδίαν Μήδων χώραν δὲ ἦτα σὺν τῇ ἰῶτα· αἱ πόλεις διφθογγίζονται, αἱ χῶραι δι’ ἰῶτα·

book 287 “Μηδία χώρα” λέγεις γάρ, “Μίδεια δὲ ἡ πόλις”, ὡς Ἰταλία λέγεται τῶν Καλαυρῶν ἡ χώρα, Ἀττάλεια τυγχάνει δὲ πόλις τῆς Παμφυλίας.

book 290 Φιλόξενον τὸν διθυραμβοποιὸν ἢ τραγῳδοδιδάσκαλον διασύρει, ὅστις ἐν Σικελίᾳ ἦν παρὰ Δωριεῦσι· λέγεται δὲ ὅτι ποτὲ Γαλατείᾳ τινὶ παλλακίδι Διονυσίου προσέβαλε, καὶ μαθὼν Διονύσιος ἐξώρισεν αὐτὸν εἰς λατομίαν. φεύγων δ’ ἐκεῖθεν εἰς 〈τὰ〉 μέρη τῶν Κυθήρων ἦλθε καὶ ἐκεῖ δρᾶμα τὴν Γαλάτειαν ἐποίησεν, ἐν ᾧ εἰσήγαγε τὸν Κύκλωπα ἐρῶντα τῆς Γαλατείας. τοῦτο δὲ αἰνιττόμενος εἰς Διονύσιον ἀπείκασεν αὐτὸν τῷ Κύκλωπι, ἐπεὶ καὶ αὐτὸς 〈ὁ〉 Διονύσιος οὐκ ὠξυδόρκει. ἐπεὶ οὖν ἔφη ὁ Χορὸς “ἥδομαι” καὶ ὅ τι ἑξῆς, καὶ ὁ οἰκέτης φησὶ “καὶ ἐγὼ βουλήσομαι χορεύειν”, καὶ ἅμα ἀναφωνεῖ τὸ μέλος ἐκεῖνο. ὅπερ φασὶν εἰρηκέναι τὸν Κύκλωπα κιθαρίζοντα τὴν Γαλάτειαν· εἰσάγει γὰρ ὁ Φιλόξενος ἐν τῷ συγγράμματι αὐτὸν κρούοντα τὴν κιθάραν καὶ

book 290 ἀναφωνοῦντα τὸ “θρεττανελῶ”· ἡ γὰρ κιθάρα κρουομένη τοιοῦτον μέλος ἀπετέλει· τινὲς δὲ ἀγροικικὴν φωνὴν εἶναι λέγουσιν. μιμούμενος οὖν καὶ ὁ κωμικὸς χορὸς οὗτος ἐκεῖνον, τοῦτό φησι. τὸ δ’ “ἀλλ’ εἶα τέκεα θαμίν’ ἐπαναβοῶντες” ἐκ τοῦ Κύκλωπος Φιλοξένου ἐστίν.

book 293 ποιᾷ φωνῇ χρώμενοι· βληχᾶσθαι γὰρ ἐπὶ τῶν προβάτων.

book 294 κινάβρα ἡ δυσωδία τῶν μασχαλῶν ἢ τῶν αἰγῶν· κυρίως δὲ κυνάβρα ἡ τῶν κυνῶν βρῶσις, κυνόβορά τις οὖσα.

book 295 τὸ δ’ “ἀκρατιεῖσθε” ἀντὶ τοῦ “φάγοιτε”· ἀκρατισμὸς γὰρ λέγεται τὸ πρωϊνὸν φαγεῖν. ἢ “ἀκρατῆ πράσσετε”, ἐπειδὴ μετὰ συνουσίαν οἱ τράγοι λείχουσι τὰ αἰδοῖα ἑαυτῶν.

book 298 πήραν ἔχοντα: ὅτι παρὰ τῷ Φιλοξένῳ τῷ διθυραμβοποιῷ πήραν ἔχων εἰσῆλθεν ὁ ὑποκρινόμενος Κύκλωψ καὶ λάχανα ἐπιφερόμενος, ὡς δὲ καὶ τῆς τυφλώσεως αὐτοῦ οὔσης ἐν τῷ ποιήματι. “κραιπαλῶντα” δὲ ἀντὶ τοῦ “ἐκ μέθης ἀτακτοῦντα”.

book 300 εἰκῇ δέ: ἃ ἔπαθεν ὁ Κύκλωψ παρὰ τοῦ Ὀδυσσέως, ταῦτα ὁ Χορὸς ἀναφέρει εἰς τὸν οἰκέτην.

book 301a ἡμμένον ἤτοι ὠξυμμένον ὥστε ἐκτυφλῶσαί 〈σε〉 ὡς τὸν Κύκλωπα καταδαρθέντα ἤτοι κοιμηθέντα, ὃν σὺ μιμῇ.

book 301b σφηκίσκον: ἐπιτετήδευται ἡ λέξις παρὰ τὸν σφῆκα. τὰ γὰρ μακρὰ τῶν ξύλων καὶ ὀξὺ ξυνημμένα σφηκίσκους καλοῦσιν, ἐπεὶ καὶ οἱ σφῆκες τὴν κοιλίαν ἐπισυνεσταλμένην ἔχουσιν, ἰσχνοὶ ὄντες ὄπισθεν καὶ τοὺς λαγαροὺς δὲ τοῖς σώμασιν ἀνθρώπους καὶ μὴ προκοιλίους σφηκώδεις φασί, τοὺς στενοὺς τὰ μέσα.

book 303 ἢ τοὺς ἑταίρους: δέον εἰπεῖν “Ὀδυσσέως” πρὸς τὴν ἱστορίαν “Φιλωνίδου” εἶπεν κωμῳδεῖ δὲ αὐτὸν ὡς πλούσιον καὶ παρασίτους ἔχοντα καὶ διὰ τὸν Λαΐδος ἔρωτα ἐν Κορίνθῳ διάγοντα. διασύρεται δὲ καὶ ὡς συώδης σὺν τοῖς ἑταίροις αὐτοῦ, οὓς καὶ κάπρους εἶπε, τὴν δὲ Λαΐδα Κίρκην, ἐπεὶ τοὺς ἐραστὰς ἐφαρμάκευεν. ἀμαθὴς δὲ ἦν ὁ Φιλωνίδης καὶ μέγας σφόδρα. Νικοχάρης οὖν ἐν τῷ περὶ αὐτοῦ· “τί δῆτ’; ἀπαιδευτότερος εἶ Φιλωνίδου τοῦ Μελιτέως;”

book 308 παροιμία, ἥτις εἴωθεν ἐπὶ τῶν ἀπαιδεύτων λέγεσθαι.

book 312 τῶν ὄρχεων: δέον εἰπεῖν ὅτι “ξίφος ἐπιφέρομέν σοι καθὰ καὶ Ὀδυσσεὺς τῇ Κίρκῃ”—ὃ δὲ συμβέβηκε τῷ Ὀδυσσεῖ κατὰ τὴν τοῦ ἐρινεοῦ ἐποχὴν ἐν τῷ στομίῳ τῷ Χαρύβδεως—, ἐπὶ τὴν Κίρκην μετήγαγεν. ἢ ὡς ἐκεῖνος Μελάνθιον ἐκρέμασεν.

book 313 μίνθον οἱ μὲν τὸν ἡδύοσμον, οἱ δὲ τὴν ἴυγγα, ὡς κεῖται ἐν τῇ κωμικῇ λέξει, λέγουσιν. ἢ καὶ ἄλλως· μίνθος ἡ κόπρος τῶν αἰγῶν. ἐπειδὰν δὲ οἱ τράγοι ψυγμῷ περιπέσωσιν, εἰώθασιν οἱ αἰπόλοι λαμβάνειν τὴν κόπρον αὐτῶν καὶ χρίειν αὐτῶν τοὺς μυκτῆρας, καὶ οὕτω τῇ δυσωδίᾳ πταρμὸν κινεῖν, τούτῳ δὲ τῷ τρόπῳ λύειν τὸ πάθος. 〈ὁ γὰρ πταρμὸς θεραπεύει τὸ πάθος.〉 ἐκ τούτου οὖν φησιν ὅτι “ἀηδίσομέν σε, ἐπεὶ καὶ αἶγες ἐκ τῆς κόπρου ἀηδίζονται”. ἄλλως

Eulogikon public reading copy · View original HTML at eulogikon.org

“μινθώσομεν” ἀντὶ τοῦ “κοπρώσομεν”· μίνθος γὰρ ἄνθος ἐν τῇ κόπρῳ φυόμενον, ᾧ χαίρουσιν οἱ τράγοι. ἢ τὴν ἀνθρωπίνην κόπρον, ᾗ χρῶνται παρατρίβοντες οἱ ποιμένες τῷ δυσριγεῖ τῶν τράγων πταρμῷ.

book 314 ὅτι ὁ Ἀρίστυλλος αἰσχρός· καὶ ἐν Ἐκκλησιαζούσαις μέμνηται αὐτοῦ· αἰσχροποιὸν οὖν φασιν αὐτὸν ποιητήν, ὃς διὰ τὴν αἰσχρουργίαν αὐτοῦ ἀεὶ ἐκεχήνει. τοῦτο οὖν φησιν· “ὥσπερ Ἀρίστυλλος κεχηνὼς ἐρεῖς· ἕπεσθε καὶ τὰ ἑξῆς”.

book 321a μασσώμενος: ἀπὸ θέματος τοῦ μασσῶ, συζυγίας δευτέρας, ὡς τὸ “γελώμενος”.

book 321b τῷ κόπῳ: ἤτοι τῷ ἔργῳ καὶ τῇ περὶ τὸν πλοῦτον ἐπιμελείᾳ.

book 322 χαίρειν μὲν: ὁ Χρεμύλος, ὡς ξενισθεὶς τῇ τύχῃ, καινοτέραν προσηγορίαν ἐπινοεῖ· τὸ γὰρ “χαίρειν” παλαιόν ἐστι. τοῦτο δὲ Διονύσιος ὑπὸ Κλέωνος μὲν πρῶτον λέγει τετάχθαι, γράφοντος δὲ αὐτοῦ πρὸς Ἀθηναίους ἑλόντος τοὺς ἐν Σφακτηρίᾳ· “ὁ Κλέων Ἀθηναίοις τῇ βουλῇ καὶ τῷ δήμῳ χαίρειν” αὐτὸ δέ φησι κεῖσθαι περιττὸν καὶ περὶ τὴν σύνταξιν ἀσύστατον.

book 325 συντεταγμένως: σπουδαίως καὶ γοργῶς, μετὰ συγκροτήματός τινος καὶ τάξεως. τὸ δὲ “οὐ κατεβλακευμένως” ἀντὶ τοῦ “οὐ βραδέως καὶ τρυφερῶς”. βλὰξ γάρ ἐστιν ὁ μαλθακευόμενος καὶ τρυφηλὸς ἐν ὑποκρίσει τὸ σῶμα· καὶ μαλθακία ἡ μεθ’ ὑπεροψίας ὁμιλία.

book 327 παίζων ποτὲ μὲν λέγει ἄνδρα, ποτὲ δὲ θεόν.

book 328 δόξεις, φησίν, ὁρᾶν ἐμὲ ὡς αὐτὸν τὸν Ἄρεα, ἤγουν τὸν θεὸν ὁρῶν, ἀντὶ τοῦ “κατορθωτικὸν καὶ πρακτικόν”. ἄκρως γὰρ καὶ ἀπειλητικῶς, φησί, βλέψω πρὸς τοὺς βιαζομένους.

book 330a 〈ὤστια〉 τὰς θύρας φασὶ παρὰ τὸ ἐξωθεῖν τὸν ἐπερχόμενον.

book 330b ὅτι ἐν τῇ ἐκκλησίᾳ οὐδεὶς ἐδίκαζεν εἰ μὴ ἐπέβαινε τῶν ξε′ ἐνιαυτῶν· ὅσοι δ’ εἰς τέλος ἡλικίας ἦσαν, εἰσήρχοντο μὲν εἰς τὴν ἐκκλησίαν, οὐκ ἐδίκαζον δέ. τούτους οὖν τοὺς ἐκκλησιαστὰς ἐποίησαν φανερόν τι λαμβάνειν ἀπὸ τῶν τῆς πόλεως προσόδων οἱ δημαγωγοὶ πείσαντες τὴν πόλιν· ὕστερον δὲ ὁ Κλέων ἐποίησεν αὐτὸ τὸ τριώβολον. ἀφῆλιξ δὲ εἰς τὴν ἐκκλησίαν οὐκ εἰσήρχετο.

book 331 παρίημι· ὁ μέλλων “παρήσω”. ὁ δεύτερος ἀόριστος “πάρην” καὶ εὐκτικὸς “παρείην” ἡ μετοχὴ “ὁ παρείς. τοῦ παρέντος”.

book 332 ἰστέον ὅτι τὰ ὀνόματα τοῦ δράματος τούτου εἰσὶ πλάσματα τοῦ ποιητοῦ. Χρεμύλος γὰρ ἀπὸ τοῦ χρέος καὶ τοῦ αἱμύλος ὁ ἀπατεών, ὁ ἀπατῶν τοὺς χρεοφειλέτας· καὶ τὸ Καρίων ἐξελληνιζόμενον δηλοῖ δοῦλον. —Κᾶρες γὰρ οἱ δοῦλοι, ὡς ἡ παροιμία “ἐν Καρὸς αἴσῃ”—ἤτοι ἐν δούλου τάξει· ὁμοίως καὶ τὸ Βλεψίδημος ἤτοι πτωχός, ὁ βλέπων ἀεί ποτε ἐν τῷ δήμῳ.

book 338a ἐπὶ τοῖς κουρείοισιν: διαβάλλει τοὺς Ἀθηναίους ὡς διημερεύοντας ἐπὶ τῶν κουρείων ἀργῶς καὶ οὐκ ἐν τοῖς ἰατρείοις ποιουμένους τὰς συντυχίας.

book 338b κουρεῖα τὰ ἁρματοποίεια.

book 342 σκώπτει πάλιν τοὺς Ἀθηναίους ὡς ἐπιφθόνους· “οὐκ ἀκολουθεῖ, φησί, τῇ Ἀθηναίων διαγωγῇ”. καὶ ἀλλαχοῦ· “ἐπὶ τοῦ προσώπου γάρ ἐστιν ἀττικὸν βλέπος”.

book 351 παράπαν: παντελῶς, κατὰ πάντα τρόπον, ἐξ ὁλοκλήρου.

book 359 Ἄπολλον ἀποτρόπαιε: ὁ ἀποτρέπων τὰ δεινά, ἀλεξίκακος γὰρ ἦν ὡς χρησμοδοτῶν. ἄλλως· ὡς ἐν ἀρνήσει εἴληφε τὴν τοῦ θεοῦ ἐπίκλησιν.

book 362 οὐδείς, ὃς ἔχειν δοκεῖ πλεονέκτημα, ἀρετῆς ὑγιῶς ἔχει.

book 369a κρώζεις: παροιμία ἐπὶ τῶν θρυλλούντων, ἀπὸ τῶν κορωνῶν.

book 369b σὺ μὲν γὰρ ἄνω καὶ κάτω περὶ τὸ κεκλοφέναι με διαλέγῃ μοι.

book 379a

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὸ στόμ’ ἐπιβύσας: τείνεται πρὸς τοὺς ῥήτορας, ἐπεὶ εἰώθασι τοῖς ἕρμαιον κεκληρωμένοις ἐπιφορτίζεσθαι, ὡς κοινωφέλιμοι.

book 379b διασύρει τοὺς ῥήτορας.

book 382 διασύρει τοὺς Ἀθηναίους.

book 383 ἱκετηρία ἐστὶ κλάδος ἐλαίας ἐρίῳ περιπεπλεγμένος· οἱ γὰρ ἱκετεύοντες αὐτὸν κατεῖχον τὸν κλάδον.

book 385 Πάμφιλος ζωγράφος ἦν, ὃς τοὺς Ἡρακλείδας ἔγραψεν ἱκετεύοντας τὸν τῶν Ἀθηναίων δῆμον. μετὰ γὰρ θάνατον Ἡρακλέος Εὐρυσθεὺς διώκει τοὺς Ἡρακλείδας διὰ τὸ πρὸς τὸν πατέρα ἐμφύλιον μῖσος. ταύτην τὴν ἱστορίαν ἀνέγραψε Πάμφιλος τραγικός—κατὰ δέ τινας ζωγράφος ἦν—ὃς τὴν τῶν Ἡρακλειδῶν τύχην χαρακτηριστικῶς ὑφηγήσατο. Καλλίστρατος δὲ καὶ Εὐφρόνιος τραγῳδιῶν ποιητήν φασι καὶ διδάξαι Ἡρακλείδας. γραφὴ μέντοι ἐστὶν οἱ Ἡρακλεῖδαι καὶ Ἀλκμήνη καὶ Ἡρακλέος θυγάτηρ Ἀθηναίους ἱκετεύοντες, Εὐρυσθέα δεδιότες, ἥτις Παμφίλου οὐκ ἔστιν, ὥς φασιν, ἀλλ’ Ἀπολλοδώρου. ὁ δὲ Πάμφιλος, ὡς ἔοικε, καὶ νεώτερός ἐστιν Ἀριστοφάνους. ἄλλως. οὗτος ὁ τραγῳδοποιὸς ἔγραψε τοὺς Ἡρακλείδας ἱκετηρίαν ἔχοντας· ὅταν Εὐρυσθεὺς μετὰ θάνατον Ἡρακλέος τοὺς Ἡρακλείδας ἐδίωξε, καὶ οὗτοι μετὰ

book 385 τῆς Ἀλκμήνης παρεκάλεσαν τοὺς Ἀθηναίους βοηθῆσαι αὐτοῖς. ἢ ὅτι τὰ συμβάντα αὐτοῖς ζωγράφος τις Πάμφιλος ἀθηναῖος εἰς τὴν στοὰν τῶν Ἀθηναίων ἔγραψεν.

book 388 ἀπαρτὶ: ἀπηρτισμένως. ἐπίρρημα δέ ἐστιν ὡς “ἀμογητί”, παρὰ τὸ ἀπηρτισμένον καὶ πλῆρες. κέχρηται δὲ αὐτῷ καὶ Ἡρόδοτος λέγων· “ἀπὸ τούτου εἰσὶ στάδια ἑβδομήκοντα ἀπαρτί”· καὶ Φερεκράτης· “φράσον μοι. ἀπαρτὶ δὴ τοῦ προλαβεῖν”. συνωνυμεῖ δὲ ἡ λέξις· ἔσθ’ ὅτε καὶ χρονικὸν ἐπίρρημα δηλοῖ.

book 391 “μόχθηρος” ἐπὶ τοῦ σώματος, τὸ δὲ “μοχθηρός” ἐπὶ τῆς ψυχῆς.

book 395 Ἑστία θεὰ θυγάτηρ Κρόνου καὶ Ῥέας, ἥτις καὶ πρώτη τὴν οἰκίαν ἐφεῦρεν· ἐπωνύμως δὲ ταύτῃ καὶ ἡ οἰκία ἑστία ἐκλήθη.

book 401 ἀντὶ τοῦ “αὐτόν” ἢ ἀντὶ τοῦ “δεῖ ἡμᾶς ποιῆσαι αὐτὸν βλέψαι πάσῃ σπουδῇ ὥσπερ πρότερον ἔβλεπε.”

book 404 οὐκ ἐτὸς: ἤγουν οὐκ ἀλόγως ἢ ματαίως ἀλλὰ δικαίως· ἐπιρρηματικὸν γάρ ἐστιν ἀντὶ τοῦ “ἐτεῶς”, ἀπ’ αὐτοῦ συνῃρημένον.

book 407 τίς δῆτ’ ἰατρός ἐστι: διασύρει τοὺς ἰατροὺς καὶ διαβάλλει ὡς ἀμαθεῖς καὶ τοὺς διδόντας ὡς μικρολόγους. ἱστορία. Ἀσκληπιὸς Ἀπόλλωνος υἱὸς καὶ Κορωνίδος. ἰατρικὴν ἐκ Χείρωνος οὗτος ἐκδιδαγμένος, Ἤπιος πρὶν καλούμενος, Ἀσκληπιὸς ἐκλήθη ὡς Ἄσκλην ἰασάμενος τύραννον Ἐπιδαύρου ἢ ὡς μὴ σκέλλεσθαι ἐῶν καὶ θνήσκειν τοὺς ἀνθρώπους. λιμὸς κατέσχε μέγιστος ἔκπαλαι τὰς Ἀθήνας, ὡς περιτρέχειν πανταχοῦ τοὺς δραστηριωτέρους καὶ ἄλια καὶ ἄλευρα ἁρπάζειν ἐκ τηρούντων· ἐκ τούτων ἀλιτήριος καλεῖται πᾶς κακοῦργος.

book 415a παράδοξον, εὐκίνητον. Πενία γὰρ παραβάλλουσα μάχεται πρὸς αὐτούς.

book 415b ἰστέον ὅτι πολλή ἐστι διαφορὰ τοῦ διαλελυμένου καὶ τοῦ συνθέτου· “μέγας” μὲν “θυμός” τὸ πολὺ τοῦ χόλου, “μεγάθυμος” δὲ ὁ μεγαλόφρων καὶ μεγαλόψυχος. καὶ “χειροδίκης” μὲν συνθέτως ὁ βίαιος καὶ οὐκ ἐν τοῖς νόμοις ἀλλὰ ταῖς χερσὶν αὑτοῦ κείμενον ἔχων τὸ δίκαιον· “δίκην” δὲ “ἔχων ἐν χερσίν” ὁ δίκαιος καὶ ἀεὶ πρὸ χειρῶν καὶ οἷον φέρων τὸ δίκαιον. οὕτω καὶ “θερμὸν ἔργον” διαλελυμένως μὲν τὸ ἀναιδὲς καὶ θρασύ· “θερμουργὸς” δὲ “ἀνήρ” ἐν συνθέσει κατὰ λόγον ἐπαινετὸν ὁ θαρραλέος καὶ μὴ ψυχρὸς εἰς ἔργον.

book 423 ἴσως Ἐριννύς: ἐπισκώπτει τὴν διὰ τῶν Ἐριννύων Αἰσχύλου ὑπόθεσιν· παρεισάγονται γὰρ δεινοπαθοῦσαι. ὡς καὶ Εὐριπίδης· “γοργῶπες νερτέρων ἱέρειαι, δειναὶ θεαί.” ἢ ἄλλως. εἰώθασιν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οἱ τραγῳδοὶ Ἐριννύας εἰσφέρειν μετὰ λαμπάδων· καὶ γὰρ τὰ ἀποτρόπαια τῶν φασμάτων τραγῳδοῖς μᾶλλον ἁρμόττει.

book 425 κλαύσεται: οἰμώξεται ὡς μὴ οὖσα κατὰ φύσιν φοβερά, ἀλλὰ μάτην ἀπατῶσα ἡμᾶς.

book 426 πανδοκεύτριαν: ἀντὶ τοῦ “κάπηλιν”. ἢ διὰ τὸ πάντας δέχεσθαι. εἴρηται δὲ κάπηλις ἀπὸ τοῦ κακύνειν τὸν πηλὸν ἤτοι τὸν οἶνον, ὅθεν καὶ ἄμπελος.

book 427 λεκιθόπωλιν: ἀπὸ τοῦ χρυσίζοντος ᾠοῦ, ᾠόπωλιν. λέκιθος δὲ κυρίως τὸ ξανθὸν τοῦ ᾠοῦ διὰ τὸ τῷ λέπει τοῦ ᾠοῦ κεύθεσθαι. ἔστι δὲ εἶδος ὀσπρίου, ὃ καλεῖται πίσος διὰ τὸ ἐοικέναι τὴν χροιὰν λεκίθῳ ᾠοῦ. ἀπὸ μέρους οὖν τὴν ὀσπριόπωλιν δηλοῖ.

book 431a βάραθρον: χάσμα φρεατῶδες καὶ σκοτεινὸν ἐν τῇ Ἀττικῇ, ἐν ᾧ τοὺς κακούργους ἔβαλλον. ἐν δὲ τῷ χάσματι τούτῳ ὑπῆρχον ὀγκῖνοι, οἱ μὲν ἄνω, οἱ δὲ κάτω. ἐνταῦθα τὸν Φρύγα τὸν τῆς Μητρὸς ἐνέβαλον ὡς μεμηνότα. ἐπειδὴ προέλεγεν ὅτι ἔρχεται ἡ Μήτηρ εἰς τὴν ἐπιζήτησιν τῆς Κόρης. ἡ δὲ θεὸς ὀργισθεῖσα ἀκαρπίαν ἔπεμψε τῇ χώρᾳ· καὶ γνόντες τὴν αἰτίαν 〈διὰ〉 τοῦ χρησμοῦ, τὸ μὲν χάσμα κατέχωσαν, τὴν δὲ θεὸν ἵλεον ταῖς θυσίαις ἐποίησαν.

book 431b βάραθρον: ὄρυγμα ἔνθα εἰσάγονται οἱ κατάδικοι.

book 436 ἢ ταῖς κοτύλαις: ἀντὶ τοῦ “παρακλέπτουσά με ταῖς κοτύλαις” ἢ “μικροπρεποῦσά με βλάπτει, οἷον ταῖς μεταφοραῖς τῶν μέτρων ἀπατοῦσά με”, ὡς τοῦ Βλεψιδήμου πεποιηκότος καὶ δεδωκότος ἀργύριον. κοτύλη δέ ἐστιν εἶδος μέτρου, ὃ λέγομεν ἡμεῖς ἡμίξεστον.

book 438 ἄναξ: ἰδίως τὸν Ἀπόλλωνα ἢ ὡς ἀλεξίκακον καὶ χρησμοὺς παρέχοντα πρὸς ἀποτροπὴν τῶν δεινῶν, ἢ ὡς πατρῷον θεόν.

book 443 ἐξωλέστερον: ἀπολέσθαι ὀφεῖλον ἢ ἐξολοθρευτικώτερον ἢ ἐξολέσαι δυνάμενον.

book 447a ἔρημος κυρίως ἡ μονωθεῖσα τῶν ἐνοικούντων γῆ, παρὰ τὸ ἔραν μόνην εἶναι.

book 447b φεύγω φεύξω κοινῶς, φευξῶ δωρικόν, φευξοῦμαι δὲ ἀττικόν.

book 451a οὐκ ἐνέχυρον: δῆλον ἐκ τούτου ὡς οὐ μόνον ἐνέχυρα ἀλλὰ καὶ ἐνέχυρον. φαίνεται δὲ καὶ ἀπηγορευμένον εἶναι μὴ μεθεῖναι τὰ ὅπλα ἐνέχυρα. λέγει οὖν· “αὕτη τῇ ἑαυτῆς βίᾳ ἀναγκάζει καὶ τοὺς νόμους παραβαίνειν τοὺς θεσπίσαντας ὅπλα ἐνέχυρα μὴ τιθέναι”.

book 451b ἐνέχυρον ἀπὸ τοῦ “ἐχυρόν”, τὸ στερεόν.

book 453 οἱ παλαιοὶ Ἀττικοὶ περισπῶσιν, οἱ δὲ νεώτεροι προπαροξύνουσιν.

book 466 ἀντὶ τοῦ “εἰ μέλλοντες ἐκβαλεῖν σε καὶ ἐπιλαθοίμεθα, μέγα κακὸν πράττομεν τότε”.

book 470 εἰ δὲ μή: ἤτοι παύσασθε τοῦ ἐγχειρήματος. τὸ σχῆμα κατὰ παράλειψιν, ὅμοιον δὲ τῷ ὁμηρικῷ· “ἀλλ’ εἰ μὲν δώσουσι γέρας μεγάθυμοι Ἀχαιοί”. οὐ γὰρ ἀπέδωκε σύνταξιν ἐνταῦθα.

book 476a τύμπανα: τιμωρικά εἰσιν ὄργανα ἀπὸ ξύλων κατεσκευασμένα, ἐφ’ οἷς ἐτυμπάνιζον· ἐχρῶντο γὰρ ταύτῃ τῇ τιμωρίᾳ. λέγονται δὲ καὶ βάκλα, ἐφ’ οἷς τύπτονται ἐν τοῖς δικαστηρίοις οἱ τιμωρούμενοι.

book 476b κύφωνες: κύφων δεσμός ἐστι ξύλινος, ὃν οἱ μὲν κλοιὸν ὀνομάζουσιν, οἱ δὲ κάλιον· ἔνθα καὶ ὁ πονηρὸς ἄνθρωπος κύφων. τάσσεται δὲ κἀπὶ πάντων τῶν δυσχερῶν καὶ ὀλεθρίων, καὶ κυφωνισμὸς ἐπὶ τῶν τιμωριῶν. Ἀρχίλοχος δὲ ἀντὶ τοῦ “κακός” καὶ “ὀλέθριος”. εἴρηται δὲ κύφων παρὰ τὸ τοὺς δεσμίους ἀναγκάζεσθαι κύφειν. κύφωνες ξύλα εἰσὶν ἐπιτιθέμενα εἰς τοὺς τένοντας τῶν καταδίκων, ἵνα μὴ εὕρωσιν ἀνακύψαι· καὶ γὰρ τὸν κρινόμενον ποιοῦσι κύφειν.

book 480 τί δῆτα: ἐπέβαλον γὰρ ζημίαν ἐνίοτε τοῖς ἁλοῦσιν ἢ χρήματα καταθέσθαι ἤ τι τοιοῦτον. “τῇ δίκῃ” δὲ τῇ τιμωρίᾳ. εἴθιστο γὰρ τὸ τῆς ἥττης ἤδη καὶ πρόστιμον λέγεσθαι παρὰ τῶν κρινομένων.

book 483 ἱκανοὺς: ἀντὶ τοῦ “ἀρκοῦντας”. ὁ γὰρ ἱκάνων, ὅ ἐστι παραγινόμενος, ἤρκεσε πρὸς τὴν ἔξοδον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 485 ὅτι εἴθιστο ἐπὶ τῇ τιμωρίᾳ καὶ προστίμῳ ὑποπίπτειν τοὺς ἁλόντας, “οὐκ ἄν, φησίν, ἀναβάλοισθε ἀποθανόντες” ἀντὶ τοῦ “ταχέως ἀπελθόντες τελευτήσατε. εἰ γὰρ νικήσετε, οὐκέτι δίκαιόν ἐστιν”.

book 487 ἀλλ’ ἤδη: ὅτι τὸ μέτρον τούτων τῶν στίχων ἀναπαιστικὸν τετρασύλλαβον καταληκτικόν. δέχεται δὲ ἀνάπαιστον, 〈σπονδεῖον〉 καὶ δάκτυλον.

book 493 “βούλευμα” μὲν τὸ ἴδιον, “βούλημα” δὲ τοῦ δημοσίου ἡ βουλή.

book 505 οὐκοῦν εἶναί φημι: ὅτι κακόμετρος ὁ στίχος, ἐνίοις δὲ καὶ ἄμετρος. ἡ δὲ σύνταξις τοιαύτη· “οὐκοῦν, ἢν βλέψῃ ποτὲ ὁ Πλοῦτος, φημὶ εἶναι ὁδόν, ἥντινα ἰών τις παύσει ταῦτα”. τέλειον δὲ εἴη, εἰ καὶ τὸν “καί” προσθείη τις σύνδεσμον, εἰπὼν “καὶ τοῖς ἀνθρώποις ἀγάθ’ ἂν πορίσειεν”.

book 507 ἀλλ’ ὦ ὑμεῖς οἵτινες ἐγένεσθε μόνοι ἀπὸ πάντων ἀνθρώπων ἀναπειθεῖς ἤγουν ἀπειθεῖς εἰς τὸ οὐχ ὑγιαίνειν, συνθιασῶται δὲ εἰς τὸ ληρεῖν, ἐὰν γένηται τοῦτο ὅπερ λέγεται, φαίνεταί μοι ὅτι οὐκ ἀρέσει ὑμῖν.

book 509 εἰ τοῦτο γένοιθ’ ὃ: ὅρα τὴν δεξιότητα τοῦ κωμικοῦ· προσποιεῖται ὡς οὐκ οἶδεν ἡ Πενία τὴν γνώμην τοῦ Χρεμύλου καὶ τὴν τοῦ Πλούτου, ὅτι πρὸς μόνους τοὺς δικαίους ἥξει. καὶ διὰ τοῦτο οὕτως εἴρηκεν ὅτι, ἐὰν ἀναβλέψῃ ὁ Πλοῦτος καὶ πλουτίσῃ πάντας, ποῖος τῶν ἀνθρώπων ἔσται ὁ τὴν οἱανοῦν τέχνην μεταχειρισόμενος;

book 516 ἢν ἐξῇ ζῆν: πρὸς τὸ ἀνώτερον· τίς ἐθελήσει τέχνην μετελθεῖν, ἢν ἐξῇ ζῆν καὶ τὸ ἑξῆς.

book 517a ἀντὶ τοῦ “κατὰ λῆρον ληρεῖς”. ἀττικὴ δὲ ἡ φράσις καὶ τὸ σχῆμα ἀττικόν, ὡς τὸ “μανίαν μαίνῃ”. ἀττικὸν δέ ἐστι τὸ εἰπόντα τὸ πρᾶγμα ἐπαγαγεῖν τὸ ἀπὸ τοῦ πράγματος ῥῆμα, ὡς τὸ “ὕβριν ὑβρίζεις” καὶ “φυγὴν φεύγεις” καὶ ὅσα τοιαῦτα καὶ τὰ λοιπά.

book 517b ἡ στάσις ἡ μετὰ τοῦ Χρεμύλου καὶ τῆς Πενίας ἐστὶ πραγματική.

book 521a ἔμπορος: ὁ πραγματευτής, κυρίως δὲ ἄνθρωπος ὁ πλέων θάλασσαν, παρὰ τὸ “πόρος”. πόρος δὲ ἐπὶ ὑγρῶν λέγεται κυρίως, καὶ εὔπορος ὁ ἔχων ἀεὶ τὸν ἐπιρρέοντα πλοῦτον, ἐκ μεταφορᾶς τοῦ ὑδατικοῦ πόρου.

book 521b “ἀνδραποδιστής” εἴρηται ἀπὸ τοῦ ἄνδρα ἀποδίδοσθαι ὅ ἐστι πωλεῖν· “ἀνδράποδα” δὲ ἀπὸ τοῦ ὑποκεῖσθαι τὸν οἰκέτην τῷ δεσπότῃ, καθάπερ ὑπόκειται ὁ ποὺς τῷ ἀνδρί. διαβάλλονται δὲ οἱ Θετταλοὶ ὡς ἀνδραποδισταί, καὶ Εὐριπίδης· “πολλοὶ παρῆσαν, ἀλλ’ ἄπιστοι Θετταλοί”. δῆλον δὲ ἀπὸ Ἰάσονος, ὃς ἠνδραπόδισε τὴν Μήδειαν· ἀνδράποδον δὲ εἴρηται ὁ ποὺς ἐν ἀνδράσιν ἀπὸ ὑποκειμένου μέρους τῷ ὅλῳ· ὑπόκειται οὖν ὁ οἰκέτης τῷ δεσπότῃ, καθάπερ ὁ ποὺς τῷ ὅλῳ σώματι.

book 528 ὡς Ὅμηρος· “ὑπ’ αἰθούσης τάπητας ἔθηκας”.

book 535 ἐκ βαλανείου: διὰ τὸ τοὺς πένητας ἀποροῦντας ἐνδυμάτων διὰ τὸ ψύχος ἐν βαλανείῳ καθεύδειν, ἐκ τῆς θέρμης φλυκταίνας ποιεῖν. Ἀπολλόδωρος τὰ ἐκ τοῦ πυρὸς ἐρευθήματα ἢ ἐκ ψύχους ἢ τοὺς τύλους καὶ τὰ ἐπικαύματα τὰ ἐκ τοῦ πυρός φησιν, ὡς τῶν πενήτων διὰ τὸ αὐτουργεῖν τοῦτο πασχόντων.

book 536 κολοσυρτὸς κυρίως ὁ ἦχος ὁ ἐκ ξύλων γεγονὼς συρομένων ἀπὸ τοῦ ὄρους, ἀπὸ τοῦ κᾶλον, τὸ ξύλον, καὶ τοῦ σύρω.

book 537 κώνωπάς φησι τὰς ἐμπίδας· οἱ δὲ ὡς τὰς ψύλλας οὔσας ἀφώνους εἶπε βομβεῖν· κωνώπων γὰρ μᾶλλον τοῦτο ἴδιον. ἐντεῦθεν πλανηθέντες τινὲς θηλυκῶς εἰρῆσθαι ᾠήθησαν τοὺς κώνωπας, ληροῦσι δέ· ἀρσενικῶς γὰρ λέγονται. οἱ Δωριεῖς δὲ ἀρσενικῶς λέγουσι τὸν ψύλλον, οἱ δὲ Ἀττικοὶ θηλυκῶς. “ἠχοῦσαι”, φησίν, οἱ κώνωπες, “ἠχοῦσαι γὰρ περιίπτανται”· οὐκ ἔστι δέ, ἀλλὰ πρὸς τὰς ψύλλας.

book 539

ἐπεγείρουσαι καὶ φράζουσαι· πεινήσεις, ἀλλ' ἐπανίστω: ὡς ἄν τις εἴπῃ· "τοῦτο βοῶσιν ὅτι ἀνάστα, ποίει δοῦλε μὴ πεινήσῃς".

book 543 ὅτι ὁ μὲν ἄρτος πάλαι μέμακται, ἡ δὲ μάζα νῦν.

book 544 Ἀττικοὶ ῥαφανίδα φασὶν ἣν ἡμεῖς ῥάφανον, πάλιν δὲ ῥάφανον ἣν ἡμεῖς κράμβην. εἴρηται δὲ ῥαφανὶς παρὰ τὸ ῥᾳδίως φαίνεσθαι· λόγος γὰρ ὡς σπειρόμεναι θᾶττον ἄνεισιν.

book 545a θράνος ἐστὶν ὑποπόδιον, ἔνθα καὶ θρανίτης, ὡς λυχνίτης, ὑποκοριστικῶς.

book 545b μάκτρα· θυεία ἐπιμήκης, ἐν ᾗ μάττουσι τὰ ἄλευρα.

book 548 ἀνεκρούσω, ἀπὸ μεταφορᾶς τῶν κιθαρῶν ἤ τινος ἄλλου τοιούτου ὀργάνου. διενήνοχε δὲ πτωχεία πενίας, ὅτι ἡ μὲν πενία μεμετρημένη ἐστὶν ἔνδεια, πόνῳ τὰ χρειώδη θηρῶσα· εἴρηται δὲ παρὰ τὸ πένεσθαι ὃ σημαίνει τὸ ἐνεργεῖν· ὁ δὲ πτωχὸς παρὰ τὸ πτώσσειν ἅπαντας. τοῦ μὲν γὰρ πτωχοῦ ὁ βίος ἐστὶν ἵνα μὴ ἔχῃ τι, τοῦ δὲ πένητος ἄλλος ἐστὶν ἵνα ἔχῃ τὴν ἐφήμερον ζωήν· ὥστε ἄλλο ἐστὶ πτωχεία καὶ ἄλλο πενία. παράξενος γὰρ ἔνι ὁ βίος τοῦ πτωχοῦ, ὅτι μοχθεῖ καὶ κοπιᾷ, καὶ οὐδὲ κἂν αὐτοῦ ἐν τῷ θανάτῳ ἔχῃ ἵνα ταφῇ

book 550 τὰ 〈μὴ〉 ὅμοιά φησιν αὐτοὺς ὁμοιοῦν, ὡς εἴ τις λέγει Διονύσιον τὸν ἐν Σικελίᾳ ἐξώλη καὶ ἐμμανῆ τύραννον ἐοικέναι Θρασυβούλῳ τῷ Λύκου ἀνδρὶ φιλοπόλιδι καὶ παντὸς κρείττονι λόγου διὰ τὰς ἐπιφανεῖς αὐτοῦ κατὰ πόλεμον νίκας οἱ Λακεδαιμόνιοι γὰρ κρατήσαντες τῶν Ἀθηναίων λ' τυράννους ἀπὸ τῆς πόλεως αὐτῶν ἐν Ἀθήναις διάγειν 〈ἔταξαν〉· ὁ οὖν Θρασύβουλος ἐραστὴς ὢν τῆς δημοκρατίας κατέλαβε Φυλὴν τῆς Ἀττικῆς μετά τινων ἄλλων, μεθ' ὧν κατέλυσε τοὺς λ'.

book 555 ἐπικαλεῖται δὲ τὴν Δήμητραν κατὰ τῆς Πενίας, ὡς οὖσαν παρεκτικὴν πάντων τῶν ἀγαθῶν.

book 559 ἑλληνικὸν τὸ ποδαγρᾶν. ὑπὸ γὰρ ἀργίας μεγάλης. γίνονται ποδάγραι.

book 560b εἴρηται δὲ τὸ "ἀσελγῶς" ἀπὸ τῶν ἐν Σέλγῃ πόλει τῆς Πισιδίας κατά τινας μὲν σεμνῶς βιοῦν οἰομένων· "ἀσελγῶς" "μὴ σεμνῶς", ὁμοίως τάχα τοῖς Σελγαίοις, ἀλλ' αἰσχρῶς κατὰ δὲ τοὺς ἐπισκεπτικώτερον τὸ ἔθνος εἰδότας Κίλιξι καὶ Ἀρμενίοις ὅμορον ὂν καὶ ὁμότροπον, "ἀσελγῶς" "αἰσχρῶς" ἐπιτατικώτερον, ὡς οἱ τῆς Σέλγης οἰκήτορες.

book 561 ἰσχνοὶ καὶ σφηκώδεις: ἢ λεπτοὶ κατὰ τὸ μέσον ἢ πικροί, ἐπεὶ καὶ τὸ ζῳύφιον πικρόν ἐστι σφόδρα. δριμύτεροι οὖν ὡς σφῆκες ἅμα καὶ ἰσχνότεροι γίνονται οἱ λιμώττοντες.

book 567 τοὺς ῥήτορας: τοὺς δημαγωγούς, τοὺς νομομαθεῖς· ῥήτορας γὰρ δημαγωγοὺς Ἀθήνησι καθίστων. περισύρει δὲ τούτους ὡς πλεονέκτας καί φησιν ὅτι ἴδε τοὺς ῥήτορας, ὡς, ὁπόταν μέν εἰσι πτωχοί, εἰσὶν εὐσεβεῖς καὶ δίκαιοι, ὅταν δὲ πλουτήσωσι καὶ ταῦτα ἀδίκως ἐκ τῶν κοινῶν, γίνονται ἄδικοι.

book 575 πτερυγίζεις: ἀντὶ τοῦ "μάταια καὶ κοῦφα διαλέγῃ", ἀπὸ τῶν νεοσσῶν ἃ πτερυγίζουσι μὲν τὰς πτέρυγας ἵπτασθαι, οὐ δύνανται δέ· "οὕτως καὶ σὺ θέλεις μὲν εἰπεῖν καὶ πειράζεις, οὐδὲν δὲ ἀνύεις". ἄλλως. "φλυαρεῖς διὰ λόγων"· τὸ γὰρ πτερὸν ἠχῶδες καὶ θορυβητικόν.

book 576 ὅτι βελτίστους: διότι αὐτοὺς ὠφελῶ· καὶ τοῦτο ἔστιν ἰδεῖν καὶ εἰς τοὺς παῖδας ἁπλῶς πῶς φεύγουσιν ἀπὸ τῶν ἰδίων γονέων ἀγαπώντων αὐτούς.

book 578 οὕτως ἐστὶ δύσκολον πρᾶγμα, ἵνα νοήσῃ τις τὸ δίκαιον.

book 581 ἀλλ' ὦ Κρονικαῖς λήμαις: ἀρχαίαις μωρίαις ἐσκοτισμένοι τὸ φρονεῖν. παροιμία δ' ἐστὶν ἀπὸ τῶν ἀμβλυωπούντων. λήμη ἐστὶ τὸ πεπηγὸς δάκρυον, ὅπερ ἐπικαθεζόμενον βλάπτει τοὺς ὀφθαλμούς. τὸ γὰρ τῶν γερόντων δάκρυον παχὺ ὂν [λήμας] μεγάλ[ας] ἀποτελεῖ καὶ ποιεῖ. σημαίνει οὖν· "τετυφλωμένοι τὰς φρένας, ὥσπερ οἱ τὰς λήμας ἔχοντες τῶν ὀφθαλμῶν ἰόντων ἐμποδίζονται τὰς ὄψεις".

book 584

Eulogikon public reading copy · View original HTML at eulogikon.org

διὰ τεσσάρων ἐτῶν συνήρχοντο· κατὰ δὲ τὸ πέμπτον ἐτελεῖτο ὁ ἀγών.

book 585 μετὰ τὴν μάχην ἐστεφάνωσε διὰ κλάδων, δηλῶν ὅτι καὶ οἱ μαχόμενοι ἀλόγως ἐστέφοντο.

book 586 ὅτι οὐ κοτίνῳ ἐστεφανοῦντο, ἀλλὰ τῷ τῆς καλλιστεφάνου ἐλαίας κλάδῳ. οὐκ ἀκριβῶς οὖν φησι· καλλιστεφὴς γὰρ ἡ ἐλαία λέγεται. "ταύτης δὲ τὰ φύλλα ἔμπαλιν ταῖς λοιπαῖς ἐλαίαις πέφυκεν", ὥσπερ Ἀριστοτέλης φησίν· "ἔξω γὰρ ἀλλ' οὐκ ἐντὸς ἔχει τὰ λευκά. ἔστι δὲ ἐν τῷ Πανθείῳ, καλεῖται δὲ καλλιστέφανος. ἀφίησί τε τοὺς πτόρθους, ὥσπερ ἡ μύρτος, εἰς τοὺς στεφάνους συμμέτρους. ἀπὸ ταύτης λαβὼν καρπὸν Ἡρακλῆς ἐφύτευσεν Ὀλυμπίασιν, ἀφ' ἧς οἱ στέφανοι τοῖς ἀθληταῖς δίδονται". ὥς φασι δέ τινες· "ἔστιν αὕτη παρὰ τὸν Ἰλισσὸν ποταμὸν σταδίους 〈ξ'〉 τοῦ ἱεροῦ ἀπέχουσα· περιῳκοδόμηται δέ, καὶ ζημία μεγάλη τῷ θίγοντι αὐτῆς ἐστιν. ἀπὸ ταύτης ἔφερον λαβόντες οἱ Ἠλεῖοι τῶν ἀθλητῶν ἐν Ὀλυμπίᾳ τοὺς στεφάνους".

book 589a παρ' ὑπόνοιαν καὶ κατὰ λέξιν καὶ κατὰ γραφήν.

book 589b ὅπερ ἀγαπᾷ τις κατέχει παρ' ἑαυτῷ.

book 594 τὴν Ἑκάτην ἐν ταῖς τριόδοις ἐτίμων οἱ παλαιοὶ διὰ τὸ τὴν αὐτὴν Σελήνην καὶ Ἑκάτην καὶ Ἀρτέμιδα καλεῖσθαι. κατὰ δὲ νουμηνίαν οἱ πλούσιοι ἔπεμπον δεῖπνον ἑσπέρας ὥσπερ θυσίαν τῇ Ἑκάτῃ ἐν ταῖς τριόδοις· οἱ δὲ πένητες ἤρχοντο πεινῶντες καὶ ἤσθιον αὐτὰ καὶ ἔλεγον ὅτι ἡ Ἑκάτη ἔφαγεν αὐτά. λέγεται οὖν· "παρὰ τῆς Ἑκάτης μάθωμεν τῆς ἐπισταμένης τί πενία ἢ πλοῦτος· αὕτη γὰρ ἐπίσταται τίνες παρέχουσιν αὐτῇ δεῖπνα". ἔθος ἦν ἄρτους καὶ ἄλλα τινὰ κατὰ μῆνα τιθέναι τῇ Ἑκάτῃ τοὺς πλουσίους, λαμβάνειν δὲ ἐξ αὐτῶν τοὺς πένητας· ἀπὸ γὰρ τῶν ἱερῶν οἱ πτωχοὶ [ζῶσιν].

book 600 ὑπερβολικά, ὡς καὶ ὁ Εὐριπίδης· "τὰ καλὰ καὶ τὰ μὴ καλὰ καλῶς ἔχουσιν".

book 601 ταῦτα ἐκ Τηλέφου Εὐριπίδου τραγικεύεται. [ἄλλως. ἐκ Φοινισσῶν Εὐριπίδου με]τείληπται δὲ ὁ στίχος· οὐ γὰρ ἀκολούθως καλεῖ ἐν Ἀθήναις οὖσα.

book 602 Παύσωνα: τὸν σύντροφον καὶ διαιτητήν. Παύσων δὲ ἐπὶ πενίᾳ κωμῳδεῖται, ζωγράφος ὤν.

book 606 κύφων· ὁ ξύλινος δεσμός, ἐν ᾧ δεσμοῦνται οἱ ἐν τῇ φρουρᾷ. τινὲς δὲ κύριον ὄνομά φασι πτωχοῦ τινος.

book 624 χρή· ὁ παρατατικὸς ἀντὶ ἐνεστῶτος.

book 625 ἀξιοῦται, ἀντὶ τοῦ "ἄξιόν ἐστι" κατὰ Ἀττικούς.

book 626a τὸ εὐτρεπὲς ἐπὶ οἴκου, τὸ δὲ εὐπρεπὲς ἐπὶ ἀνθρώπου.

book 626b τοῦτο λαμβάνεται εἰς τὰς κτήσεις πάσας.

book 626c οὗτοι, ὡς ἔοικεν, εὐθὺς ἀπῆγον ἐκεῖ, ἔφη δὲ ὁ Καρίων.

book 627a μεμυστιλημένοι: εὐωχημένοι, ζωμὸν ἀρυσάμενοι κοίλοις ἄρτοις καὶ μυστρία μιμουμένοις. ὅθεν καὶ τὸ ὄνομα τοῖς μυστρίοις, οἱονεὶ μυστίλιόν τι ὄν. ὁ δὲ νοῦς· "ὦ πολλὰ ταλαιπωρήσαντες καὶ εἰς οὐδὲν ἑστιαθέντες, νῦν δὲ εὐτυχήσαντες".

book 627b μετὰ τὸ χαρίσασθαι τὴν δημοκρατίαν τοῖς Ἀθηναίοις τὸν Θησέα, Λύκος τις συκοφαντήσας ἐποίησεν ἐξοστρακισθῆναι τὸν ἥρωα· ὁ δὲ παραγενόμενος εἰς Κῦρον διῆγε παρὰ Λυκομήδει τῷ δυνάστῃ τῆς νήσου, ὃς ζηλοτυπήσας ἀναιρεῖ αὐτὸν δόλῳ. Ἀθηναῖοι δὲ λιμώξαντες καὶ κελευσθέντες ἐκδικῆσαι τῷ Θησεῖ, τὸν μὲν Λυκομήδην ἀνεῖλον, τὰ δὲ ὀστᾶ μεταστειλάμενοι καὶ τὸ Θησεῖον οἰκοδομήσαντες ἰσοθέους οὕτω τιμὰς διανέμουσι. διανομαὶ δὲ καὶ εὐωχίαι τοῖς Θησείοις γίνονται· ταῖς δὲ ὀγδόαις τὰ Θησεῖα ἤγετο· ἑορτὴ δὲ αὐτῷ ἐπετελεῖτο, ἐπειδὴ αὐτὸς συνήγαγε τὴν Ἀττικὴν πρότερον σποράδην καὶ κατὰ κώμας οἰκουμένην.

book 628 ἐπ' ὀλίγοις ἀλφίτοις: ἢ διὰ τὸ πλῆθος τῶν ὄψεων ὀλίγον ἄρτον ἀνήλισκον, ἢ τοῖς κοίλοις ἄρτοις τοὺς ζωμοὺς ἀρυόμενοι ταχέως κορέννυνται δι' ἔνδειαν ἄρτων, καὶ πάντες ἀθάραν

ἤσθιον ἐν τῇ ἑορτῇ τοῦ ἥρωος. πεποίηται δὲ ἡ λέξις παρὰ τὴν μάσησιν ἢ παρὰ τὸ εἰς μικρὰ τίλλεσθαι τοὺς ἄρτους καὶ οὕτως ἐσθίειν.

book 635 ἐξωμμάτωται: ὅρα πῶς τοῖς σπουδαίοις γελοιώδη παραμίξας λανθάνει. ἡ γὰρ “ἐξ” πρόθεσις ἐπίτασιν δηλοῦσα τὸ φαινόμενον 〈σημαίνει〉 ἀντὶ τοῦ “ἐπιτεταμένως ὁρᾶν”, ὡς τὸ “ἐκ θυμοῦ φιλέων”. 〈ἢ〉 μᾶλλον παίζων ἐπὶ στερήσεως λέγει.

book 637 ἀπαγγέλλεις μοι, φησί, χαρᾶς ἄξιον ὥστε καὶ βοᾶν τῇ χαρᾷ νικώμενον.

book 639 εὔπαιδα: ἐπαμφοτερίζει ἡ χρῆσις ἐπί τε τοῦ καλοῦ παιδὸς καὶ τοῦ καλοὺς παῖδας ἔχοντος. καὶ “μέγα ἀνυμνήσω, φησί, τὸν Ἀσκληπιὸν μέγα φῶς ὄντα τοῖς ἀνθρώποις”. πολλοὶ δὲ παῖδες τοῦ Ἀσκληπιοῦ· Ποδαλείριος, Μαχάων, Ἰασώ, Πανάκεια, Ὑγεία. ἀναπέπλασται δὲ τὰ ὀνόματα παρὰ τὸ ἰᾶσθαι καὶ πάντας ἀνακεῖσθαι. “εὔπαιδα”· ἢ 〈τὸν〉 τοὺς καλοὺς παῖδας ἔχοντα ἢ τὸν καλὸν παῖδα. ὁ δὲ νοῦς πέπαικται εἰς τραγῳδίαν· καὶ γὰρ ὁ χαρακτὴρ τραγικός, ὡς ἐν Ὀρέστῃ·

book 639 “ἀναβοάσομαι πατρὶ Ταντάλῳ”.

book 651 αὐτὴ δὲ ὡς αἰσχρὸν φεύγει τὸν λόγον ἤ τι πρᾶγμα ἀκούσασα ἐφοβήθη ἀποτρέπουσα τὸν λόγον.

book 656 εἴθιστο γὰρ τοῖς ἀρχαίοις ἐκεῖ καθαίρειν τοὺς ἀφωσιωμένους· καὶ Ὅμηρος· “εἰς ἅλα λύματ’ ἔβαλλον”,

book 657 “ἐλούομεν” μὲν καὶ κατὰ συγκοπὴν “ἐλοῦμεν”.

book 660a βωμῷ: ἀντὶ τοῦ “ὁσιωθείσης τῆς θυσίας” καὶ τῶν ἀπαργμάτων ἐπὶ τῶν βωμῶν τεθέντων, ἅπτονται τοῦ βωμοῦ ἢ τοῦ κανοῦ καὶ ἐπιφθέγγονται ὅσια, καὶ τότε ἔξεστι τοῖς ἀπὸ τῆς θυσίας ἀδεῶς χρῆσθαι.

book 660b προθύματα: σημαίνει τὰ προκατάργματα ἢ τὰ πρὸ τῆς θυσίας γινόμενα θυμιάματα ἢ πλακούντια.

book 661 καθωσιώθη: ἀντὶ τοῦ “ἀφιερώθη”, ἤτοι “ὄλυρα ἢ κριθὴ ἢ λιβανωτὸς ὁσίως ἀνετέθη”.

book 663 καττύματα λέγονται οἱ μικροὶ ἱμάντες οἱ ἐπὶ τῆς κόπρου ἐρριμμένοι. λέγει οὖν· “ἐκ πολλῶν καὶ μικρῶν τὴν στιβάδα ηὐτρεπίζομεν”.

book 665 εἰς πολλὰ κεκωμῴδηται, εἰς συκοφάντην, ῥήτορα καὶ τὰ δημόσια κλέπτοντα καὶ ξένον καὶ τὰς ὄψεις βεβλημένον.

book 673a ἀθάρη μόνη ἡ σεμίδαλις λέγεται. ἀττικὸν δὲ διὰ τοῦ η “ἀθάρης”, Αἰολεῖς “ἀθήρας”, ἡ δὲ κοινὴ διὰ τοῦ α “ἀθάρας”

book 673b ἀττικὸν τὸ λαμβάνειν ἔξωθεν τὸ “πεπλησμένος”· τὴν χύτραν ἀθάρης, ὡς λέγομεν “ἀλάβαστρον μύρου” καὶ “ἀσκὸς οἴνου” ἀντὶ τοῦ “ἀλάβαστρον μεστὸν μύρου”.

book 675a δαιμονίως: ἤγουν ὡς εἷς τῶν ἱερείων δηλαδὴ ὄφεων.

book 675b ἐφερπύσαι: βαδίσαι. ἀπὸ μεταφορᾶς τῶν ἑρπετῶν. ἐκ τούτου δὲ τὴν ἥσυχον κλοπὴν τὴν ἐπὶ τὴν χύτραν δηλοῖ.

book 677 Ἀττικοὶ μὲν μονοσυλλάβως φθοῖς· ὁ δὲ Καλλίμαχος “φθόϊας”, ἤτοι πλακοῦντας οὖν.

book 678 εἰσὶ γὰρ τράπεζαι ἐν τοῖς ἱεροῖς, ἐν αἷς ἐπιτιθέασι τὰ ἐπιφερόμενα.

book 681a ἥγιζεν: ἀντὶ τοῦ “ἔβαλεν εἰς δέρματα σακκίων”, ἅπερ καὶ θύλακον λέγομεν. τινὲς δὲ ἀντὶ τοῦ “ἀπετίθετο”. παίζει δὲ τοῦτο ὡς ἐπὶ ἱερέων. ἀρσενικὸν δὲ ὁ σάκτης ὡς αἱ χρήσεις διδάσκουσιν.

book 681b εἰδῶν συγκείμενον ἔκ τε ἀστραγάλων καὶ καναβουρίων.

book 682 [πολλὴν ὁ]σίαν: ὅσια μὲν τὰ πρὸς ἀνθρώπους ὧν ἔξεστι θίγειν. “δόξας, φησίν, ὅσιον εἶναι τὸ λαμβάνειν τι ἀπὸ τῶν ἐν τῷ ἱερῷ, ἐπεὶ καὶ ὁ ἱερεὺς ἐλάμβανεν”.

book 685

Eulogikon public reading copy · View original HTML at eulogikon.org

διαβάλλει τὸν θεὸν ὡς κλέπτην. “ἐφοβήθην οὖν μὴ καὶ αὐτὸς ἐλθὼν κλέψαι τὴν χύτραν φθάσειέ με”.

book 686 ὅτι στεφανηφόρος ὁ Ἀσκληπιὸς καὶ ἀεὶ νεάζων· ὑγείας γάρ ἐστιν ἔφορος.

book 689a τρία μὲν εἴδη τῆς συναλοιφῆς ἁπλᾶ καὶ δʹ σύνθετα· ἁπλᾶ μὲν ἔκθλιψις, κρᾶσις καὶ [συναίρ]εσις· σύνθετα δὲ ἔκθλιψις καὶ κρᾶσις, ἔκθλιψις καὶ συναίρεσις, κρᾶσις καὶ συναίρεσις, κα[ὶ ἔκ]θλιψις κρᾶσις καὶ συναίρεσις. ἁπλᾶ μὲν ἔκθλιψις ὡς τὸ “οὐχὶ οὕτως· οὐχ’ οὕτως”, κρᾶσις δὲ ὡς τὸ “ἐποιήσαο· ἐποιήσω” καὶ συναίρεσις ὡς τὸ “πάϊς· παῖς”· σύνθετα δὲ οἷον ἔκθλιψις καὶ κρᾶσις ὡς τὸ “κἀγώ· καὶ ἐγώ”, ἔκθλιψις δὲ καὶ συναίρεσις ὡς τὸ “ἔμ’ οὐπ’ ὀδύνη”, κρᾶσις δὲ καὶ συναίρεσις ὡς τὸ “ᾡπόλος” ἀντὶ τοῦ “ὁ αἰπόλος”, ἔκθλιψις δὲ καὶ κρᾶσις καὶ συναίρεσις ὡς τὸ “κᾆτα· καὶ εἶτα” καὶ “ᾡπόλοι” ἀντὶ τοῦ “οἱ αἰπόλοι”.

book 689b [ἀκόλουθον τῷ ἐφερπύσαι τὸ συρί]ξαι. ἕκαστον γὰρ τῶν ζῴων ἰδίαν φωνὴν ἔχει, ὡς αἲξ τὸ μηκάζειν, κορώνη τὸ κρώζειν κ[αὶ τἄλ]λα [ὁ]μ[οίως.]

book 690a ὀδὰξ ἐλαβοίμην: ἀντὶ τοῦ “τοῖς ὀδοῦσιν αὐτὴν ἔδακον.”

book 690b εἶδος δὲ ὄφεως ὁ παρείας· παρὰ τὸ ἐπῆρθαι τὰς παρειάς. φασὶ δὲ αὐτὸν μὴ δάκνειν ἢ καὶ δάκνοντα μὴ λυπεῖν. μέμνηται δὲ αὐτοῦ καὶ Δημοσθένης “τοὺς ὄφεις τοὺς παρείας” λέγων. τὸ δὲ τοιοῦτον εἶδος εὑρίσκεται ἐν τοῖς ἱεροῖς τοῦ Διονύσου· οἵτινες καὶ ἐν τῇ Ἀλεξανδρείᾳ.

book 694 ἔφλων: ἤσθιον. φλᾶν δὲ τὸ μετὰ ψόφου ἐσθίειν· καὶ γὰρ φλᾶν τὸ θλᾶν, ὡς τὸ “φηρσὶν ὀρεσκῴοισιν”.

book 699 διὰ τὴν ἀθρόαν τοῦ πνεύματος ἐκπήδησιν. ὅθεν καὶ πάρδος· ὁρμητικὸν γὰρ τὸ ζῷον.

book 700 ἐβδελύττετο: ἀντὶ τοῦ “ἐμίσει”. χαριέντως δ’ εἶπε πρὸς τὸ “ἀπέπαρδον”· παρὰ τὸ βδέειν γὰρ τὸ βδελύττεσθαι.

book 701 ὅτι τινές φασιν εἶναι καὶ θυγατέρα τοῦ Ἀμφιάρεω αὐτήν. εἰ δὲ καὶ τὴν Ἰασὼ Ἀσκληπιοῦ θυγατέρα, ὥσπερ Ἀμφιάρεω, ἄξιον ἀπορεῖν· ἐπεὶ καὶ Ἕρμιππος ἐν τῷ πρώτῳ ἰάμβῳ τῶν Τριμέτρων Ἀσκληπιοῦ καὶ Λαμπετίας τῆς Ἡλίου λέγει Μαχάωνα καὶ Ποδαλείριον καὶ Ἰασὼ καὶ Πανάκειαν καὶ Αἴγλην νεωτάτην. ἄλλοι δὲ προστιθέασιν Ἰανίσκον καὶ Ἀλεξήνορα.

book 703 ἄλλο λίβανος καὶ ἄλλο λιβανωτός; λίβανος μὲν γὰρ αὐτὸ τὸ δένδρον, λιβανωτὸς δὲ ὁ καρπὸς τοῦ λιβάνου.

book 706 σκατοφάγον: ἀναίσθητον. εἴρηται δὲ ἀπὸ τῶν παρὰ Βοιωτοῖς βοῶν, οἳ διὰ τὴν πολλὴν ἀναισθησίαν σκατὰ ἤσθιον. ἑτερόκλιτος δέ ἐστιν ἡ “σκατός” γενικὴ ἀπὸ εὐθείας τῆς “σκώρ”.

book 712 εἰπὼν γὰρ ὅτι τὸ κιβώτιον λίθινον ἦν, ὥσπερ ἑαυτοῦ τὴν λήθην ἐπανορθούμενος, φησί· “μὰ Δί’ οὐκ ἦν λίθινον τὸ κιβώτιον.”

book 716 Νεοκλείδης· οὗτος ὡς ἅρπαξ τῶν δημοσίων κωμῳδεῖται.

book 717 τῶν φαρμάκων τὰ μέν εἰσι καταπλαστά, τὰ δὲ χριστά, τὰ δὲ ποτά. τινὲς δὲ προπαροξύνουσι “κατάπλαστα” λέγοντες.

book 718a ὅτι ἡ Τῆνος μία τῶν Κυκλάδων νήσων οὖσα δριμύτερα σκόροδα φέρει. καὶ Καλλίστρατος δὲ σκοροδοφόρον εἶναι τὴν γῆν λέγει.

book 718b διότι τὰ τῆς Τήνου δριμεῖά εἰσιν.

book 720a σχῖνος· παρὰ τὸ σχίζεσθαι καὶ δακρύειν· ἡ αὐτὴ γὰρ τῇ μαστίχῃ. δηκτικὰ γὰρ ταῦτα καὶ ὀξώδη.

book 720b σφηττίῳ: δριμυτάτῳ· δριμὺ γὰρ ὄξος παρὰ Σφηττίοις ἐγίνετο. ἢ ὅτι πικροὶ οἱ Σφήττιοι καὶ συκοφάνται.

book 725 ἐπομνύμενον: ἀντὶ τοῦ “ἐφεδρεύοντα ταῖς ἐκκλησίαις καὶ συκοφαντοῦντα ὑπὲρ τοῦ κερδαίνειν.”

book 737 ὡς εἰ ἔλεγε “πρὶν εἰπεῖν σε λόγον ἕνα”, εἶπε “πρὶν ἐκπιεῖν οἴνου δέκα κοτύλας”. σκώπτει δὲ τὰς γυναῖκας ὡς μεθυούσας. κοτύλη δέ ἐστιν εἶδος μέτρου ὃ νῦν καλεῖται ἡμίξεστον.

book 743 ἠσπάζοντο: ἐφιλοφρονοῦντο. κυρίως δὲ ἀσπάζεσθαί ἐστι τὸ περιπλέκεσθαί τινα διὰ τὸ ἄγαν σπᾶσθαι εἰς ἑαυτὸν τὸν ἕτερον καὶ περιβάλλειν τὰς χεῖρας ἐν τῷ φιλοφρονεῖσθαι.

book 753 ἐδεξιοῦντο: τὰς δεξιὰς συμβαλόντες ἑτέραν τῇ ἑτέρᾳ ἠσπάζοντο. καὶ Ὅμηρος· “δεξιῇ ἠσπάζοντο ἔπεσσί τε μειλιχίοισιν.”

book 765 ἐπειδὴ ὁ θεράπων 〈εἶπεν〉 ὡς οὐκέτι ἔσται ἐν σπάνει ἄρτων ἀλλ’ εὐπορίᾳ, διὰ τοῦτο αὐτὸν ἄρτοις ἀναδῆσαι βούλεται καὶ στεφανῶσαι. “κριβανωτῶν ὁρμαθῷ” ἀντὶ τοῦ “ἄρτων δέσμῃ”, δέον εἰπεῖν “στεφάνῳ”. κρίβανος δὲ παρὰ τὸ κρῖ καὶ τὸ βαῦνος. παίζει δὲ ὡς ἀδδηφάγον αὐτόν.

book 768 καταχύσματα: ὅτι τῶν νεωνήτων δούλων τὸ παλαιὸν τῶν πρώτως εἰσιόντων εἰς οἰκίαν ἢ ἁπλῶς τῶν ἐφ’ ὧν οἰωνίσασθαί τι ἀγαθὸν βουλομένων τραγήματα κατέχεον, ὡς καὶ Θεόπομπός φησι· “φέρε σὺ τὰ καταχύσματα κατάχεε ταχέως τοῦ νυμφίου καὶ τῆς κόρης”. ἐπεὶ οὖν καὶ ὁ Πλοῦτος ἐν πρώτοις εἰσδέχεται, τοῦτό φησι. σύγκειται δὲ τὰ καταχύσματα ἀπὸ φοινίκων, κολλύβων, τρωγαλίων, ἰσχάδων καὶ καρύων, ἅπερ ἥρπαζον οἱ σύνδουλοι. κυρίως γὰρ ἐπὶ νεωνήτοις δούλοις ταῦτα κατέχεον φέροντες αὐτοὺς καὶ καθίζοντες περὶ τὴν ἑστίαν· τοὺς γοῦν ὀφθαλμοὺς τοῦ Πλούτου διὰ τὸ νεωστὶ βλέψαι ὑπὸ Χρεμύλου καὶ 〈ὡσ〉 ἐπὶ νεωνήτου δούλου εἰληφώς,

book 768 καταχύσματα εἶπεν.

book 773 ὅτι Κέκροψ αἰγύπτιος ὢν τὸ γένος ᾤκισε τὰς Ἀθήνας, ὅθεν καὶ οἱ Ἀθηναῖοι Κεκροπίδαι. τινὲς δέ φασι τοῦτον καὶ διφυῆ γεγενῆσθαι· τὰ μὲν γὰρ ἄνω ἀνδρὸς εἶχε, τὰ δὲ κάτω θηρίου· ἢ ὅτι νόμους πολλοὺς ἐφεῦρε τοῖς ἀνθρώποις καὶ ἀπὸ ἀγριότητος εἰς ἡμερότητα ἤγαγεν· ἢ ὅτι τῶν ἀνδρῶν ὡς ἔτυχε σμιγομένων ταῖς γυναιξὶ καὶ ἐκ τούτου μὴ γινωσκομένου τοῦ παιδὸς παρὰ τοῦ πατρὸς ἢ τοῦ πατρὸς παρὰ τοῦ παιδός, αὐτὸς νόμους θέμενος ὡς φανερῶς συγγενέσθαι αὐταῖς καὶ

book 773 μιᾷ στοιχεῖν καὶ εὑρὼν τὰς δύο φύσεις τοῦ τε πατρὸς καὶ τῆς μητρός, τούτου χάριν διφυὴς ἐκλήθη,

book 778 ὡς οὐδ’ ἐκεῖν’ ἄρα οὐδ’ ὀρθῶς ταῦτα ἐποίουν τούς τε ἀγαθοὺς φεύγων καὶ τοὺς φαύλους μεταδιώκων.

book 782 βάλλ’ ἐς κόρακας: ὁ Χρεμύλος ἀγανακτεῖ πολλῶν αὐτὸν ἀσπαζομένων καὶ περιεχόντων, οἵτινες πρὸ τοῦ οὐδὲ ἑώρων αὐτὸν πένητα ὄντα, νυνὶ δὲ πλουτήσαντα κολακεύουσιν.

book 797 πρεπῶδές ἐστιν: ἔμφασις τοῦ Ἀριστοφάνους προσώπου· ὁ δὲ λόγος πρὸς τοὺς ἀντιτέχνους πρὸς διασυρμόν, οἳ διὰ τῶν αὐτῶν ὀβολῶν ἐπειρῶντο τὸν δῆμον πρὸς ἑαυτοὺς ἐπανάγειν. καὶ ἐν τοῖς Σφηξὶν ἐσεμνύνετο ὡς οὐκ εἰσὶ παρ’ αὐτῷ κάρυα ἐκ φορμίδος· φαίνεται μέντοι τὸ τοιοῦτον οὐ διὰ τῶν χορηγῶν γίνεσθαι ἀλλὰ δι’ αὐτῶν τῶν διδασκάλων.

book 800 Δεξίνικος: οὗτος πένης ἦν, καὶ κωμῳδεῖται ὡς τὰ ὄψα ἁρπάζων καὶ λίχνος. τινὲς στρατηγόν φασιν.

book 802 ὡς ἡδὺ τὸ εὐτυχεῖν, καὶ μάλιστα δίχα ἀναλωμάτων γινόμενον.

book 805a ἐπεισπέπαικεν: εἰσεπήδησε. κυρίως δὲ ἐπὶ στρατείας πολεμίων. παίζων τοῦτό φησιν, ὡς τῶν πλειόνων Ἀθηναίων ἐξ ἀδικίας πλουτούντων.

book 805b ἠδικηκόσιν: διαβάλλει τοὺς Ἀθηναίους ὡς τὰ πράγματα ἅπερ εἶχον ἐξ ἁρπαγμάτων καὶ ἀδίκως συνέλεγον.

book 806 σιπύη: ἐκ τῆς τῶν ἀναγκαίων εὐπορίας. σιπύη δὲ ἡ ἀρτοθήκη.

book 807a

Eulogikon public reading copy · View original HTML at eulogikon.org

“ἀμφορεύς” λέγεται ἀπὸ τῆς “ἀμφί” προθέσεως καὶ τοῦ “φορῶ”, τὸ κομίζω, “ἀμφιφορεύς” καὶ κατὰ συγκοπὴν “ἀμφορεύς”.

book 807b ὅτι τὸ παλαιὸν ἐξήραινον διὰ τοῦ ἡλίου τὰς σταφυλὰς καὶ ἔκτοτε ἐπάτουν αὐτάς, καὶ ἀπετελεῖτο οἶνος μέλας.

book 807c ἀνθοσμίου: ἤτοι ἐρυθροῦ, ὡς Ὅμηρος· “μέλανος οἴνοιο”. ἀνθοσμίου δὲ ἡδέος, εὐόσμου, ὥσπερ τῶν ἀνθέων τὰ εὐωδέστατα, ἢ ὡς ἀπὸ τῆς ἀνθοσμίας ἢ ὡς ἀπὸ εἴδους ἀμπέλου.

book 809 γενικῇ συντάσσεται

book 815 ἰπνὸς: ἢ τὸ μαγειρεῖον ἢ ἡ καπνοδόκη ἢ ὁ φανός· εἴρηται γάρ που· “ἔν τε τοῖς ἰπνοῖσι πῦρ”.

book 816 ἀρτιάζομεν: παίζομεν τὸ ἐν τῇ συνηθείᾳ λεγόμενον ζυγὰ ἢ ἄζυγα. ἄρτια τὰ ζυγά, περισσὰ τὰ μονά, οἷον ὁ δύο ἀριθμὸς ἄρτιος, ὁ δὲ ἑπτὰ περισσός. ἄλλως. ἄρτια περισσὰ παίζομεν· παιδιὰ δέ τις ἦν, καθ’ ἣν ἐγένετο πεῦσίς τε κατασχόντος καὶ ἀπόκρισις προσπαίζοντος. ἀρτιάζειν δὲ λέγουσι τὸ ἁρπαγῇ παίζειν, ἴσως δὲ τὸ σφαιρίζειν.

book 818 ἀλλὰ σκορόδοις: οὐχ ἁπλῶς τοῦτο, ἀλλ’ ἵνα δείξῃ ὅτι τοσαύτῃ μεταβολῇ κεχρήμεθα, ὡς ἃ πρότερον ἠσθίομεν ἀγαπητῶς, τούτοις ἀποματτόμεθα. εἴρηται δὲ σκόροδον ἴσως, σκαιόν τι ῥόδον ὄν, παρὰ τὸ σκαιὸν ὄζειν. τινὲς ἔτι φασὶν ὅτι περιπεσόντες λιμῷ οἱ Ἀθηναῖοι σκορόδοις ἐχρῶντο, μήποτε δὲ τοῖς τῶν σκορόδων καυλοῖς. ἔστι δὲ ὁ καυλὸς ἀσφοδέλῳ ὅμοιος, ἐπιτήδειος πρὸς τὸ τὴν πυγὴν ἀποσπογγίζειν.

book 819 βουθυτεῖ: καταχρηστικῶς εἴρηται ἡ βουθυσία δηλοῦσα τὸν ὄγκον τοῦ μεγέθους καὶ τὸ ἐντελὲς τῆς θυσίας, ἣν ἑκατόμβην καλοῦσιν. ἐντελὴς δὲ θυσία ἡ ἐκ συὸς τράγου κριοῦ, ἣν Ἀθηναῖοι καλοῦσι τριττύν.

book 822 ἔδακνε γὰρ τὰ β[λέφαρα: μεταβολὴ] παντός, εἰ ὁ μὲν δεσπότης ὑποφέρει τὸν καπνόν, ὁ δοῦλος δ’ οὔ.

book 845a τὰ παρ’ ὑπόνοιαν παίζει.

book 845b παίζει παρὰ τὸν Ἐλευσίνιον νόμον· ἔθος γὰρ ἦν, ἐν οἷς τις ἱματίοις μυηθείη, εἰς θεοῦ τινος ταῦτα ἀνατιθέναι, ὥσπερ δηλοῖ καὶ Μελάνθιος “πάτριόν ἐστι” λέγων “ταῖς θεαῖς ἀνιεροῦν καὶ τὰς στολὰς τοῖς μύσταις ἐν αἷς τύχοιμεν μυηθέντες”. μυστήρια δύο τελεῖται τοῦ ἐνιαυτοῦ τά τε Δημήτρια λεγόμενα καὶ Κόρεια, τὰ μικρὰ καὶ τὰ μεγάλα. καὶ ἔστι τὰ μικρὰ ὥσπερ προκάθαρσις καὶ προάγνευσις τῶν μεγάλων.

book 846 “ῥιγώσω” ἐπὶ σώματος, “ῥιγήσω” δὲ ἐπὶ ψυχῆς.

book 853 πολυφόρῳ: ἡ μεταφορὰ ἀπὸ τῶν πολυκάρπων χωρίων ἢ πολυανθῶν δένδρων. “πολυφόρῳ”· τῷ πολλά μοι κακὰ ὑφ’ ἕνα καιρὸν ἄγοντι καὶ ποικίλα. εἴρηται δὲ ἀπὸ τοῦ πολὺ ὕδωρ ἐπιδεχομένου οἴνου. ἤγουν ἀκράτῳ καὶ ἰσχυρῷ ὄντι πρὸς τὸ κακόν.

book 859a ἐκ παραλλήλου δὲ τὸ αὐτό.

book 859b αἱ δίκαι: ἀντὶ τοῦ “εἰς τὸ δίκαιον”. παροιμία. σκώπτει δὲ πάλιν ὡς βίαιον οὖσαν τὴν ἐν δικαστηρίῳ δίκην.

book 862 πονηροῦ κόμματος: ἀντὶ γὰρ τοῦ εἰπεῖν “φαύλου συστήματος”, “πονηροῦ κόμματος” εἶπεν, ἐπειδὴ καὶ περὶ πλούτου ὁ λόγος. εἴρηται δὲ ἀπὸ μεταφορᾶς τῶν νομισμάτων ἐξ ὀλίγου τινὸς χρυσίου ἀποκεκομμένου κόμματος· ἢ λείμματος τῶν ἀδίκων. ἄλλως. κόμμα· εἶδος φαύλου νομίσματος. ἢ τὸν παραχαραττόμενον ἄργυρον “κόμμα” φησίν.

book 873 βουλιμιᾷ: πάνυ λιμώττει· ὥσπερ καὶ βούπεινα καὶ βούγλωσσον. τινὲς εἶδος νόσου φασίν, ἐν ᾗ πολλὰ ἐσθίοντες οὐ πληροῦνται.

book 875 τροχός τις ἦν ἐν ᾧ δεσμούμενοι οἱ θεράποντες ἐκολάζοντο.

book 878 εἰ τοὺς συκοφάντας: οὕτω καλοῦνται οἱ ἐπηρεάζοντες ἀπὸ τῆς τοιαύτης αἰτίας. τὸ παλαιὸν ἀπειρημένον ἦν σῦκα ἐξάγειν ἐκ τῆς Ἀττικῆς, τοῦ φυτοῦ κατὰ ἀρχὴν θαυμαζομένου. τοὺς οὐ μικρῶς οὖν διερευνῶντας τὸ τοιοῦτον οὕτως ὀνομασθῆναι λόγος ἀπὸ τῆς ὀπώρας· παρασχεῖν δὲ καὶ τοῖς ὁπωσοῦν μάτην ἐγκαλοῦσιν τὸν ὀνομάσαντα, ἅμα καὶ τοῦ φαίνειν τὸ ἐγκαλεῖν ἢ εἰς δίκην εἰσάγειν δηλοῦντος. ὅτι δὲ ἀπὸ τούτων γέγονεν, ἐκ τῶνδε·

book 878 συκοφάντας γὰρ τοὺς φιλεγκλήμονας καὶ συκοβίους καὶ συκωροὺς καὶ συκολόγους καὶ φιλοσύκους καὶ συκώδεις καὶ συκόπαιδας· ἴσως ἀπὸ τοῦ πάντας ἐφέλκεσθαι.

book 883 ὁ Εὔδαμος οὗτος φαρμακοπώλης ἦν, δακτυλίους πιπράσκων ὀνομαζομένους φαρμακίτας, δύναμιν ἀποτρεπτικὴν τῶν ὀφεωδῶν δηγμάτων καὶ ἄλλων τινῶν ἔχοντας ἢ ἀλεξητηρίους δηλητηρίων. εἴρηται δὲ τὸ προτιμᾶν ἐπὶ τοῦ λόγον ἔχειν 〈καὶ〉 ἐπιστρέφεσθαι. λέγει οὖν ὁ δίκαιος· “οὐ φροντίζω σου, ἔχων φυσικὸν δακτύλιον, τὸν λεγόμενον φαρμακίτην”· πρὸς ὃν ὁ θεράπων φησίν· “ἔχεις, ἀλλ’ οὐκ ἰσχύει οὗτος ὁ δακτύλιος πρὸς τὸ δῆγμα τοῦ συκοφάντου, ὡς τοσούτων ὄντων καὶ χειρόνων καὶ θηρίων πρὸς ἃ ὁ δακτύλιος πεποίηται”.

book 891 τῷ συκοφάντῃ ἕπεταί τις, ὥστε μαρτυρεῖ, ἵνα αὐτοὺς εἰς δίκην καλέσῃ.

book 895 υ υ υ: ἐπίρρημα θαυμαστικόν· ὡς οἱ ὀσφραινόμενοι, τοῦτό φησιν. τινὲς δὲ “ὁ δίκαιος ὀσφραίνεται”.

book 904 ὡς τῶν ἐμπόρων 〈μὴ〉 ἐξιόντων ἐπὶ τὰς στρατείας, ὥσπερ Εὐφρόνιός φησι, διὰ τὸ εὔχρηστον τὰ πρὸς τροφὴν ἐπιτήδεια συγκομίζοντας. τοῦτο οὖν λέγει· “ὡς ὅταν σταίη τις καιρὸς πολέμου, ἔμπορον ἐμαυτὸν ἀποκαλῶ”.

book 907 τῶν δημοσίων φροντιστὴς πραγμάτων, οἷον χορηγίας, τριηραρχίας καὶ τῶν τοιούτων. ἰδίων: ἢ τῶν καθ’ ἕκαστον ἢ τῶν ἰδιωτικῶν.

book 912 ὦ εὐτελέστατε καὶ λάλε. κέπφος δέ ἐστιν ἄφρον ὄρνεον τὸ λεγόμενον παρὰ τοῖς πολλοῖς λάρος, ὅπερ φιλεῖ ἀφρὸν θαλάττιον ἐσθίειν. οἱ γοῦν παῖδες ἁλιέων, τὸ πρῶτον πόρρωθεν τὸν ἀφρόν, εἶτα ἐγγύτατα δεικνύοντες, εἶτα ἐν τῇ χειρί, οὕτως εὐχερῶς ἀγρεύουσιν. εἴρηται δὲ ἡ λέξις ἐπὶ τῶν ἀλογίστων καὶ ἀνοήτων ἀνδρῶν.

book 925 Βάττος Κυρήνην ἔκτισε κατὰ τὸν δοθέντα αὐτῷ παρὰ τοῦ Ἀπόλλωνος χρησμόν· καὶ οἱ πολῖται οἱ Κυρηναῖοι ἀνταπόδοσιν τῆς εὐεργεσίας βουλόμενοι χαρίσασθαι τῷ βασιλεῖ, ἐποίησαν δακτύλιον, ἐν ᾧ ἡ πόλις αὐτῶν προσφέρει τῷ βασιλεῖ τὸ σίλφιον. καὶ τὸ φύλλον δὲ αὐτοῦ καὶ ὁ καρπὸς καὶ ὁ κλάδος καὶ ὁ ὀπὸς καὶ ἁπλῶς πᾶν αὐτοῦ πολλῆς τιμῆς ἄξιόν ἐστιν.

book 943 εἰώθασι τοῖς δένδροις κῶλα καὶ κρανία προσπατταλεύειν· οἱ δὲ γεωργοὶ πρὸς ἀποτροπὴν βασκανίας καὶ πρὸς τὸ μὴ ξηρανθῆναι αὐτά.

book 946 σύκινον: ἀσθενέστατον· τὸ γὰρ ξύλον τῆς συκῆς ἀσθενές. ἢ σύκινον τὸν συκοφάντην κεκαλυμμένως λέγει, ἀπὸ τῆς συκῆς σχηματίσας τὸ ὄνομα.

book 949 τὸ χρῆσθαι τοῖς ἐνεστῶσιν ἀντὶ παρῳχημένου καὶ τοῖς ἐνεστῶσιν ἀντὶ παρατατικοῦ, τῶν Ἀττικῶν.

book 955 λέγουσιν ὅτι οἱ πολλοὶ ἐλαττοῦσι τὸν ἀέρα τῶν λουτρῶν, εἰς αὑτοὺς αὐτὸν ἕλκοντες.

book 957a ἀπὸ μεταφορᾶς τῶν νομισμάτων τῶν φαύλως διακεκομμένων.

book 957b κόμματα τὰ παραχαράγματα.

book 959a γραῦς ἐστι τις, 〈ἥτις〉 ἐμισθώσατο πρώην νεανίσκον δίκαιον ἐπὶ τῷ γαμεῖν· οὗτος δὲ πλουτήσας, ὡς δίκαιος, εἴασεν αὐτήν· διὸ καὶ καταβοᾷ τοῦ Πλούτου.

book 959b σύνηθες ἦν τοῖς κωμικοῖς εἰσάγειν μέσον τῶν δραμάτων αὐτῶν καὶ γελοιώδη τινά.

book 963

Eulogikon public reading copy · View original HTML at eulogikon.org

προσπαίζουσι τῇ πρεσβύτιδι οἱ γέροντες. καὶ "μειρακίσκη" μὲν διὰ τὸ τεθρυμμένον ὡράϊσμα· "ὡρικῶς" δὲ νεωτερικῶς ἢ εὐπρεπῶς ἢ κατὰ καιρόν.

book 972 τοῦτο ἀφ' ἑτέρου ἔστιν ἑρμηνεῦσαι· Ἀθηναῖοι γὰρ ἀπὸ τῶν φυλῶν ἐποίουν τοὺς δικαστὰς καὶ τὰ γράμματα, οἷον ἡ πρώτη τὸ ἄλφα ἔσχε σημεῖον καὶ ἡ δευτέρα τὸ β, αἱ δὲ ἄλλαι ὁμοίως. "ἐν τῷ γράμματι" οὖν εἶπεν ὡς ἐπὶ τῶν ῥητόρων· οἱ γὰρ λαχόντες μόνον ῥητορεύουσι· λέγει οὖν ὅτι "ὁ κλῆρός σου οὐκ ἀνῆλθεν".

book 989 μισητίας: πορνείας οἱονεὶ μισγητίας παρὰ τὸ μίσγεσθαι. καὶ ἐν τούτοις μισητίαν φησὶ τὸ εἰς τὴν συνουσίαν εὐεπίφορον. "οὐχ ἕνεκα, φησί, τοῦ ὑπηρετεῖν με τῇ ἀσελγείᾳ"

book 1002 φασὶν ὅτι ἐν τοῖς παλαιοῖς χρόνοις ἦσαν ἰσχυρότατοι οἱ Μιλήσιοι καὶ ὅπου προσετίθεντο πάντας ἐνίκων. Πολυκράτης οὖν ὁ Σάμιος, συγκροτῶν πρός τινα πόλεμον, ἠθέλησε λαβεῖν αὐτοὺς εἰς συμμαχίαν καὶ εἰς τὸ μαντεῖον ἀπῆλθεν ἐρωτήσων περὶ τούτου· ὁ δὲ θεὸς ἔχρησεν· "πάλαι ποτ' ἦσαν ἄλκιμοι Μιλήσιοι".

book 1011 ὁ Σύμμαχός φησι· "Νιτάριος πολὺς ἐπὶ μαλακίᾳ ὀνειδιζόμενος ἐν τοῖς ἑξῆς δράμασι, καὶ Βάτος". καὶ τὰς μικρὰς δὲ θηλείας βατύλους ἔλεγον, καὶ Θεοπόμπου δρᾶμά ἐστι Βατύλη. ἔνιοι δὲ "νιτάριον καὶ βάτος εἴδη φυτῶν"· θέλει δὲ εἰπεῖν "ὡς ἄνθη με εἶχεν". Δίδυμος δὲ "ὑποκορισμὸς εἰς γυναῖκας· νιττάριον, νεόττιον οἱονεὶ κοράσιον".

book 1013 μυστηρίοις δέ: ἐπεί ἐστι καὶ μικρὰ μυστήρια γινόμενα δι' Ἡρακλέα Ἡρακλῆς γὰρ ἐπιστὰς ἠξίου μυεῖσθαι. ἔθος δὲ ἦν τοῖς Ἀθηναίοις ξένους μὴ μυεῖν· μὴ βουλόμενοι οὖν λῦσαι τὰ ἔθη μηδὲ ἀπῶσαι τὸν εὐεργέτην Ἡρακλέα, ἐπενόησαν μυστήρια εὐμετάδοτα.

book 1014 αἱ γὰρ τῶν Ἀθηνῶν γυναῖκες ἐπὶ τῶν ἁμαξῶν ὀχούμεναι ἐς τὰ μεγάλα Ἐλευσίνια ἀπήρχοντο. ὡς ἐπὶ ἁμαξῶν οὖν ὀχουμένων αὐτῶν, ἐπὰν εἰς τὰ Ἐλευσίνια βαδίζωσιν ἐς τὰ μεγάλα μυστήρια, καὶ λοιδορουσῶν ἀλλήλας ἐν τῇ ὁδῷ, τοῦτο εἶπεν ἔθος γὰρ ἦν αὐταῖς τοῦτο.

book 1021a ἐπεὶ ἐν Θάσῳ ᾤκει Στάφυλος ὁ ἐρώμενος Διονύσου, διαφέρει ὁ θάσιος οἶνος.

book 1021b "ἐνέχεις" δὲ ἀντὶ τοῦ "ἐκίρνας.

book 1031 οὐ μάτην ἀλλὰ χρεωστικῶς· ἡ γὰρ "ἀπό" ὡς ἐπὶ χρέους λαμβάνεται.

book 1037 τηλία: τοῦ κοσκίνου ὁ κύκλος, ἢ σανὶς πλατεῖα, ἐφ' ἧς ἄλφιτα ποιοῦσιν. ἐν δὲ τῷ ὑπομνήματι οὕτως· τοῦτο τί ἐστιν οὐκ οἶδα· ὅτι δὲ συμβάλλεται ἐν Μαρικᾷ Εὐπόλιδος, οἶδα· κἀκεῖ γὰρ τὴν Ὑπερβόλου μητέρα τηλίᾳ εἰκάζει, τῇ πλατείᾳ σανίδι. πρὸς δὲ τηλίαν ξύλον φαμὲν πλατύ, εἰς ὃ τιθέασιν οἱ ἀρτοκόποι τοὺς ἄρτους ἐπὶ τῷ ξηραίνεσθαι· ἄλλοι δὲ τηλίαν τὸ τῆς καπνοδόχης πῶμα, ὅ ἐστι περιφερές. φησὶν οὖν ὅτι "διὰ δακτυλίου ἑλκυσθείην ἂν ὀπῆς"· "ναί, φησίν, ἐὰν

book 1037 ᾖ ὁ δακτύλιος τηλία". τοῦτο δὲ ὡς παχείας αὐτῆς οὔσης καὶ μὴ δυναμένης διὰ δακτυλίου ἑλκυσθῆναι, ἀλλὰ τηλίας.

book 1041 ὁ παῖς πρόσεισι στεφάνους κομίζων τῷ Πλούτῳ διὰ τὸ πεπλουτηκέναι.

book 1042 ὡς διὰ χρόνου αὐτὴν ἀσπαζόμενός φησι, μεθύων δὲ οὐ λέγει "χαῖρε" ἀλλ' "ἀσπάζομαι". ἡ δὲ διὰ τὸ ἄτοπον τῆς προρρήσεως ὡς ἐν ἔρωτι· "τί φησιν;"

book 1048 οἱ γὰρ μεθύοντες οὐχ ὁρῶσι. παίζει οὖν ὅτι ὀξέως ἐθεάσατο τὰς πολιὰς αὐτῆς ὁ νέος, ἀμαυροῦσθαι ὀφείλων τὴν ὄψιν ἐκ τῆς μέθης. μεθύων δὲ ἔφη, ἐπεὶ καὶ ἐπὶ κῶμον ἀπῄει, ὥς φησι. "τοὐναντίον, εἶπε, τοῖς ἄλλοις πέπονθα", ἐπειδὴ νήφων οὐκ ἔγνω.

book 1050 ὦ πόντιε Πόσειδον, θεοὶ δὲ πρεσβυτικοί· οἱ τοῖς πρεσβύταις ἐφιστάμενοι, ἐπεὶ καὶ ὁ Ποσειδῶν καὶ τῶν πρεσβυτέρων ἐστὶ θεῶν καὶ οὐχ ὅμοιός ἐστι Διονύσῳ ἢ Ἀπόλλωνι. τὸ δὲ "Ποντοπόσειδον" ἀπὸ τοῦ πόντου, "ὦ μέγιστε Πόσειδον". καὶ Σώφρων γάρ φησι "πόντος ἀγαθῶν", πλῆθος καὶ μέγεθος θέλων σημᾶναι ἄλλως ἐπεὶ γραῦς ἐστιν, ὡς τοῦ ὅρκου τούτου

πρεσβυτικοῦ ὄντος, ἢ οὐ πάντως ἀλλ’ ἐν παιδιᾷ μετ’ ἐκπλήξεως φαίνεται καὶ μεγάλης τινὸς ἐμφάσεως χρῆσθαι τούτῳ.

book 1054 εἰρεσιώνη κλάδος ἦν ἐλαίας ἐρίοις πεπλεγμένος· ἐξήρτηται δὲ αὐτοῦ τὰ ὡραῖα πάντα. ἵστασαν δὲ αὐτὸν πρὸ τῶν θυρῶν κατὰ παλαιὸν χρηστήριον. οἱ μὲν γάρ φασιν ὡς λοιμοῦ πᾶσαν τὴν γῆν κατασχόντος ὁ θεὸς εἶπε προηροσίαν περὶ ἁπάντων θυσίαν θῦσαι Ἀθηναίους· οὗ ἕνεκα χαριστήρια πανταχόθεν ἐκπέμπουσιν Ἀθήναζε τῶν καρπῶν τὰς ἀπαρχάς.

book 1057 δέον εἰπεῖν “κάρυα”, εἶπεν “ὀδόντας”, ὡς πρὸς γραῦν. ἄλλως. ἀντὶ τοῦ “πόσα ἔχεις κάρυα”. παιδιὰ γάρ ἐστι τοιαύτη· δραξάμενός τις κάρυα καὶ ἐκτείνας τὴν χεῖρα ἐρωτᾷ· “πόσα ἔχω;” καὶ ἐὰν ἐπιτύχῃ, λαμβάνει ὅσα ἔχει ἐν τῇ χειρί· κἂν δὲ ἁμάρτῃ τὴν ἀπόκρισιν, ἀποτιννύει ὅσα ἂν εὑρεθείη ἔχων.

book 1061 “πλυνός” ὀξυτόνως τὸ ἀγγεῖον αὐτό, παροξυτόνως δὲ τὸ πλυνόμενον.

book 1066 σημειωτέον ὡς ὁ Ἀριστοφάνης τὸ “ὑγιαίνειν” ἀεί ποτε ἐπὶ τῆς διανοίας λαμβάνεται.

book 1070 εἰ ἡψάμην τῶν μαστῶν ταύτης.

book 1076 οἱ χαλεπαίνοντες τὸ συνουσιάζειν ἔλεγον.

book 1082 διεσπεκλωμένῃ: γεγηρακυίᾳ, ἐξηραμμένῃ, γαμηθείσῃ, ἐν τῇ συνουσίᾳ κατατετριμμένῃ, ἢ ἀχρήστῳ πρὸς συνουσίαν διὰ τὸ γῆρας. σπεκλοῦν γὰρ τὸ συνουσιάζειν, παρὰ τὸ πλέκεσθαι. σπέκλωμα γὰρ ὁ ἦχος τῆς συνουσίας. ἢ διαλελυμένῃ, κυρίως ἐπὶ σχοινίων τῶν πλακέντων, εἶτα διαλυθέντων ἐν χρόνῳ. ἢ ὑπεπλυνισμένῃ· ἐξηραμμένῃ. διεσπεκλωμένη οὖν πρὸς συνουσίαν, ἄχρηστος γενομένη, ἐκπεπαλαιωμένη καὶ ὑπὸ πολλῶν ἐν συνουσίᾳ τετριμμένη. τὸ δὲ σπεκλοῦν ἐπὶ τοῦ συνουσιάζειν τάττουσιν οὐχ ὡς προηγουμένως τοῦτο σημαίνειν, ἀλλ’ ὅμοιον πολλοῖς συμβολικοῖς ὀνοματοποιοῦντες, καὶ μάλιστα ἐφ’ ὧν τὸ εὐθυρρημονεῖν ἵστατο.

book 1093 ἐπίττουν· ἠσέλγουν, κατεφίλουν. πιττοῦν κυρίως τὸ τὰς πλατείας ναῦς πίττῃ χρίειν. ἔνθεν οὖν μετήνεγκε τὴν λέξιν. ἢ ἀντὶ τοῦ “ἐκίνουν, συνῆλθον”.

book 1096 κογχύλιον ἐφιζάνον ταῖς πέτραις, ὃ ταύταις προσπήγνυται, δυσαποσπάστως ἔχον, ἐπειδόν τις αὐτὸ βουληθείη λαβεῖν. εὐεπίφορος δέ ἐστιν εἰς τὸ “λεπὰς πέτρᾳ”, καὶ εἶπεν· “ὥσπερ λεπὰς τῷ μειρακίῳ”. λεπὰς δὲ εἶδος ὀστρέου.

book 1097 τίς ἔσθ’ ὁ κόπτων τὴν θύραν: Ἑρμῆς ὁ τῶν θεῶν κῆρυξ, πλουτησάντων ἁπάντων καὶ μηδενὸς ἔτι θύοντος τοῖς θεοῖς, καταλιπὼν τὴν μετὰ τούτων διατριβὴν κάτεισι πρὸς τὴν Χρεμύλου οἰκίαν ὡς τούτοις συνεσόμενος ἐς ἀεί. ψοφησάσης δὲ τῆς θύρας πρὸ τοῦ τὸν Ἑρμῆν κόψαι αὐτήν, ἔξεισιν ὁ Καρίων δοκῶν παρά τινος κεκόφθαι αὐτήν· γνοὺς δὲ ὡς μόνη κλαυσιᾷ καὶ ψοφεῖ, ἔμελλεν αὖθις ((εἰς)) τὴν οἰκίαν ἐσιέναι· συγκαλεῖ δὲ αὐτὸν ὁ Ἑρμῆς καὶ πρῶτα μὲν γελοῖά τινα φθέγγεται, εἶτα δεῖται τούτοις ὑποδεχθῆναι καὶ πολλὰς εὑρεσιλογίας εἰπὼν ὀνομάτων ἑρμαϊκῶν, τέλος ὡς διακονικὸς εἴσεισι. καὶ πρὸς τὸ φρέαρ τὰς κοιλίας πλύνειν κελεύεται.

book 1098 τὸ θύριον φθεγγόμενον ἄλλως κλαυσιᾷ: ἐπειδὴ μηδὲν τῇδε τοῖς σχολιογράφοις ἐρρέθη καὶ ὡς ἀλλαχοῦ, πολλαχοῦ δέ, οὐ γὰρ ἀσαφὲς καὶ νενοημένον οὐδέν ἐστιν ἐν τῷ παρόντι χωρίῳ, φέρε, ἵνα μὴ ὁ χάρτης πάμπαν κενός ἐστι, βραχέα τινὰ λέξαιμεν, περιττῶς μὲν οἶδα, πλὴν δὲ ἡ λέξις ἅμα καὶ ὑψηλὴ καὶ γλυκεῖα· ἐπὶ γὰρ τῶν ἐχόντων αἴσθησιν καὶ μᾶλλον ἀνθρώπων λέγεται. οὗτος δ’ ἐπὶ ξύλου ἀψύχου ((καὶ)) τῆς θύρας τὸ κινεῖσθαι μὲν “φθέγγεσθαι” εἶπε, τὸ ψοφεῖν δὲ καὶ τρύζειν ((καὶ)) “κλαυσιᾶν”. διαφέρει δὲ τὸ κόπτειν ψοφεῖν τε καὶ κλαυσιᾶν κόπτειν γὰρ κυρίως λέγεται, ὅταν τις εἰς οἰκίαν εἰσιέναι μέλλων τὴν θύραν ἔξωθε πλήττῃ· ἂν δ’ ἐξερχόμενος αὐτὴν ὑπανοίγῃ, ὁ τῆς ὑπανοίξεως κτύπος ψόφος καλεῖται· ὅταν δὲ ὑπ’ ἀνέμου

Eulogikon public reading copy · View original HTML at eulogikon.org

((ἡ)) θύρα κινουμένη μόνη κινῆται καὶ τρύζῃ, κλαυθμυρισμὸς ὁ τοιοῦτος τρυσμὸς λέγεται. “θύριον” δὲ καὶ οὐ “θυρίον” φαμέν, κἂν διὰ τοὺς ἀδιαφοροδιχρόνους καὶ

book 1098 τοῖς ῥητορεύουσιν ἀδιάφορα, ἄνευ μέντοι βραχέων τινῶν, οἷά εἰσι τὰ προγυμνασμάτων κεφάλαια, ὅμως δὲ κουστωδιώταις τῶν ὁμοτρόπων καὶ φιληταῖς λάροις καὶ λόγων ἀτέχνοις πανταχοῦ βοωμένοις—οὐ γάρ τις ἀνὴρ γλυκύθυμος, οὐδ’ ἀγανόφρων, οὐδέ τις λόγων κριτὴς ἐμβριθής— οὐκ ἀρέσκῃ τοιοῦτον ἀκριβείας ἐχόμενον λόγου· ἀλλ’ ἐρωτῶ πάντας ὁμοίως τούς τε γεννάδας αὐτῶν τε καὶ κουστωδιώτας καὶ βαναύσους αἰνέτας εἰ ἀδιαφορία καὶ συγγραμμάτων καὶ διχρόνων ἐστί, τί; τέχνας συγγραφικὰς ἐκμανθάνομεν;

book 1098 τί δὲ γραμματικῆς λόγοις προσέχομεν ἱδρῶσι πόνοις μερίμναις, νύκτας ἀγρύπνους ἰαύοντες, ἤματα αἱματόεντα διαπρήσσοντες, μὴ καθ’ Ἡσίοδον ἰλαδὸν ἀτμητὶ καὶ ῥᾳδίως μεταλαμβάνοιμεν κακότητος, ἀτεχνίας καὶ βαναυσότητος· ἀλλὰ ῥητορεύουσι μὲν καὶ ἡμῖν σκοπεῖται πᾶν τεχνικὸν ῥητόρων λόγου δεινότητος μετρογραφοῦσί τε χρόνων ἀκρίβεια συναμφοτέροις καὶ τοῖς συγγράμμασι τοῖς τε καταλογάδην καὶ τοῖς ἠρμένοις μέτρων ῥυθμοῖς, μὴ σόλοικον εἴτε βάρβαρον τῆς ἁρμογῆς τοῦ λόγου τὴν φορὰν πλέξαιμεν. οἴδατε δέ, εἰ μὴ τὸν ἐγκέφαλον καταπεπονημένον, ὥς φησι Δημοσθένης; καὶ

book 1098 ταῖς πτέρναις φορεῖτε. ὅτι σολοικισμός ἐστι τὸ περὶ τὴν σύνταξιν τὴν λογικὴν ἁμαρτάνειν, βαρβαρισμὸς δὲ τὸ περὶ χρόνους, τόνους καὶ πνεύματα· πῶς οὖν ἐθέλοιτε καλεῖσθαι μὴ βάρβαροι περὶ ταῦτα πάντα ἐξαμαρτάνοντες, λάθρα δὲ καὶ παραβύστῳ σὺν ὁμοτρόποις ἡμῖν ἡμᾶς διασύροντες, τοῖς ἀμαθέσι λόγων καὶ λάροις ὑμῶν φιληταῖς ἁπανταχοῦ ἐξαιρόμενοι; ἀλλ’ ἰστέον ἡμῖν, ὦ γεννάδαι, ὡς ἡ διαφορὰ τῶν διχρόνων ἡ τεχνική—τὰ λοιπὰ γὰρ λέγειν ἐῶ οὐ μέτροις καὶ συγγράμμασι λυσιτελῆ—καὶ τοῖς καταλογάδην συγγράμμασι πολλαχοῦ καὶ πολλάκις καὶ παρορθοῖ καὶ οὐκ ἐᾷ τοῦ λόγου τὴν προφορὰν ἐκφέρεσθαι βάρβαρον.

book 1098 κανών ἐστιν ὁ λέγων ((ὅτι)) τὰ εἰς ιον ὑποκοριστικὰ ἀπὸ βραχέος ἀρχόμενα προπαροξύνεται, ἀπὸ δὲ μακροῦ παροξύνεται· “ψωμίον, σταυρίον, ἠρίον, σακκίον” καὶ τὰ ὅμοια, “ἔριον” δὲ καὶ “σάκιον”—ἡ ἀσπίς—“πόδιον, ὅριον, ὄρειον” καὶ τὰ ὅμοια. οὕτω καὶ “θύριον” καὶ “πύλιον” φαμὲν καὶ “θύμιον” τὸ ἐπίθυμον καὶ “ψύχιον” τὸ ζῳύλλιον, ὃ θηρῶντα παίζει τὰ παιδάρια, καὶ πᾶν ὅμοιον, “θυμίον” δὲ τὸν θυμὸν καὶ “ψυχίον” τὴν ψυχὴν καὶ πάντα τὰ ὅμοια. “τρύβλιον” δὲ καὶ “τρυβλίον” καὶ “ἴκριον” καὶ “ἰκρίον” φαμὲν καὶ εἴ τι τοιοῦτον.

book 1098 ἔγνωτε ὅτι δίχρονα καὶ μακρά εἰσι καὶ βραχέα, λυσιτελῆ καὶ μέτροις καὶ τοῖς συγγράμμασι. 〈τὸ〉 λοιπὸν ἐῶ.

book 1110 διχῶς νοεῖται· ἡ γλῶσσα τῶν θυομένων τῷ Ἑρμῇ δίδοται, ἐπειδὴ τῶν θυομένων δεσπότης ἐστίν· ἢ τῶν καταρωμένων ἀπ’ αὐτοῦ ἡ ἀρχή. Καλλίστρατος δὲ τῶν θυομένων φησὶ τὰς γλώσσας τοῖς κήρυξιν ἀπονέμεσθαι, διὸ καὶ τὸν ποιητὴν ποιεῖν τῷ Ἑρμῇ τεμνομένας αὐτάς. καὶ τοῦτο δὲ πρὸς τὸν Ἑρμῆν λέγει ἥκοντα παρὰ Διός. κολακεύων δὲ αὐτόν φησιν ὅτι τῶν ἱερείων ἡ γλῶττα τῷ Ἑρμῇ δίδοται ἐν ταῖς δημοτελέσι θυσίαις.

book 1119 σωφρονεῖς: ἤτοι καλῶς λέγεις περὶ τῶν ἄλλων μὴ φροντίζειν θεῶν.

book 1120a “καπήλισι” γράψον δέ, μὴ “καπηλίσι”.

book 1120b “κάπηλις” ἡ τελεία οἰνοπῶλις γυνή, καὶ ἁπλῷ τῷ τρόπῳ λέγεται· “καπηλίς” δὲ ἡ παῖς καπήλιδος ἢ καὶ ὑποκοριστικῶς καὶ ἡ τελείας ἡλικίας κάπηλις.

book 1121 οἰνοῦτταν: πλακοῦς ἐστιν ἐκ γλεύκους καὶ ἀλφίτων συντεθειμένος καί τινων ἡδυσμάτων.

book 1123a ἀναβάδην: ἄνω τοὺς πόδας ἔχων τῇ κλίνῃ ἐν τῷ καθεύδειν, τὴν κεφαλὴν δὲ κατωτέρω, ὥσπερ καὶ οἱ ἡμεροδρόμοι δρῶσι καὶ δρομοκήρυκες ἕνεκα τοῦ μὴ κατασπάσαι τὴν ὕλην περὶ τοὺς πόδας, λεπτῇ δέ τε χειρὶ παχὺν πόδα πιέζειν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 1124 οὐκοῦν δικαίως ταῦτα πάσχεις, ὃς καὶ ζημιοῦσθαι πολλάκις ἐποίεις τοὺς ((τὰ)) τοιαῦτά σοι παρέχοντας.

book 1126 τετράδι: τοῦ καθ’ ἑκάστην τετράδα τοῦ μηνὸς πεπεμμένου νῦν στελλομένου πλακοῦντός μοι. ἑκάστη γὰρ μηνὸς νουμηνία καὶ ἡ ἑβδόμη ἱέρωτο τῷ Ἀπόλλωνι, ἡ δὲ τετάρτη Ἑρμῇ, ἡ ((δὲ)) ἕκτη Ἀρτέμιδι, ἡ ((δὲ)) ὀγδόη Θησεῖ καὶ αἱ λοιπαὶ τοῦ μηνὸς ἄλλοις θεοῖς τε καὶ ἥρωσιν.

book 1127 ποθεῖς τὸν οὐ παρόντα: παροιμία· τοῦτό ἐστι λεγόμενον ἐπὶ τῶν ἤδη παρῳχηκότων ἢ καὶ παντελῶς ἠφανισμένων. εἴρηται δὲ ἀφ’ ἱστορίας τοιαύτης· ((ὁ)) Ἡρακλῆς συμπλέων τοῖς Ἀργοναύταις ἐπὶ τὸ χρύσειον κῶας, ὡς ἀφίκοντο περὶ Κίον περί τινα κρήνην, στέλλει τὸν Ὕλαν ὑδρεύσασθαι. Νηρηΐδες δὲ τὸν νεανίαν λαβοῦσαι τοῖς ὕδασιν ἀπεθέωσαν· Ἡρακλῆς δέ, μηκέτι τοῦ μείρακος ὑποστρέφοντος, πᾶσαν ὕλην, ἁπάσας τὰς κρήνας, τὴν ὀρεινὴν περιτρέχων, τὸν οὐ παρόντα ζητῶν κατεφαίνετο· ὡς καὶ Θεόκριτος ὁ Σικελός ((, οὐ λέγω τὸν Χῖον,)) περὶ τούτου φησί·

book 1127 “κὤχεθ’ Ὕλας ὁ ξανθὸς ὕδωρ ἐπιδόρπιον οἴσων”.

book 1129 ((ἀσκωλίαζε:)) ἀσκώλια καθ’ ἱστορίαν ἦν τις ἑορτὴ Διονύσου, ἐν ᾗπερ, ἀσκῶν πεφυσημένων κειμένων ἐν μέσῳ τῷ θεάτρῳ, τινὲς ἥλλοντο ἐπ’ αὐτοὺς ἢ ἑνὶ τῷ ποδὶ ἢ καὶ ((ἐν)) δυσὶ καὶ ἐκίνουν γέλωτα τοῖς θεωμένοις καταπίπτοντες τῷ φυσήματι τῶν ἀσκῶν. εἰς τιμὴν δέ, ὡς ἔφην, τοῦ Διονύσου ταῦτα ἐδρῶντο. ὁ γὰρ ἀσκὸς δέρμα τοῦ τράγου ἐστίν· ὁ δὲ τράγος, τὸ ζῷον, πολέμιός ἐστι ταῖς ἀμπέλοις αὐτὰς κατεσθίων, καὶ ἐπίγραμμά ((τι)) φέρεται τῆς ἀμπέλου πρὸς τὸν τράγον οὑτωσὶ λέγον· “κἤν με φάγῃς ἐπὶ ῥίζαν, ὅμως ἔτι καρποφορήσω, ὅσον ἐπιλεῖψαί σοι, τράγε, θυομένῳ.” “ἀσκωλιάζειν” μὲν καθ’ ἱστορίαν τοῦτο σημαίνει τὸ ἅλλεσθαι τοῖς ἀσκοῖς ᾧ τρόπῳ εἰρήκειμεν· νῦν δὲ ἐσχηματισμένως καὶ δριμέως φησὶ πρὸς τὸν Ἑρμῆν· εἰπόντος γὰρ “οἴμοι τῆς κωλῆς καὶ τῆς ὠμοπλάτης”, 〈φησίν〉. “ἀσκωλίαζε καὶ ἐστερημένος τῆς κωλῆς καὶ πεινῶν ἐνταῦθα πρὸς τὴν αἰθρίαν

book 1129 καὶ τὸν ἥλιον δίαγε.”

book 1133 παρ’ ὑπόνοιαν· οἱονεὶ “πιὼν ταύτην εἰς τὸν Ἅιδην ἀπότρεχε”.

book 1134 τὸν σαυτοῦ φίλον: πολλαὶ τέχναι ἀνάκεινται τῷ Ἑρμῇ· μία δὲ τούτων καὶ ἡ κλεπτῶν· ἐπεὶ δὲ κλέπται καὶ οἱ οἰκέται, τούτου ἕνεκεν ὁ Ἑρμῆς ἑαυτὸν φίλον τῷ Καρίωνι ὀνομάζει.

book 1139 “καὶ μήν, ὅτε τι σκευάριον καὶ ἀγγεῖον τοῦ δεσπότου ἦς κλέψας, ἐγὼ ἐποίουν λανθάνειν, ὡς κλεπτικῆς δηλονότι ἔφορος”. καὶ ὁ Καρίων πρὸς ταῦτα· “διὰ τὸ συμμετασχεῖν καὶ αὐτὸς μέρους τοῦ κλέμματος”.

book 1140 “ἀφελεῖν” λέγεται τὸ πονηρῶς ἐπαίρειν, “ὑφελεῖν” δὲ τὸ κρύψαι.

book 1142 πανουργήσας ἤτοι κλέψας τι κατεσχέθην ποτέ, ἐγὼ μόνος ἐμαστιζόμην, καὶ οὐ μετεῖχες καὶ σὺ τὰς ἴσας πληγὰς ἐμοί” ἤτοι “τῶν ἴσων ((ἐμοὶ)) πληγῶν” ἀττικῶς.

book 1146 μὴ μνησικακήσῃς: Ἀθηναῖοι καὶ Λάκωνες πολλὰς κατ’ ἀλλήλων τὰς μάχας ἐρρήγνυντο· τέλος περιγεγονότες οἱ Λάκωνες ἐπέστησαν τοῖς Ἀθηναίοις τυράννους τριάκοντα, Ἀθηναίους καὶ αὐτοὺς ὄντας, οἳ τοὺς ὁμοφύλους παντοίως ἐκάκουν συντρίβοντες. τέλος Θρασύβουλός τις ἀθηναῖος φιλόπατρίς τε καὶ μισοτύραννος Φυλήν τινα τόπον ((ποτὲ)) καταλαβὼν Ἀττικῆς μετὰ καί τινων μισοτυράννων ἑτέρων, συνηργηκότος οὐ μετρίως αὐτοῖς καὶ Κεφάλου τοῦ πατρὸς Λυσίου τοῦ ῥήτορος ὀκτακοσίας ἀσπίδας χαρισαμένου πρὸς συμμαχίαν, περὶ τὸν Πειραιᾶ συμβαλόντες, κατὰ κράτος ἥττησαν τοὺς λ′ καὶ τοὺς σὺν αὐτοῖς. ἐπεὶ δὲ ὅτε ἦρχον οἱ τύραννοι, οὓς μὲν ἐκάκουν τῶν πολιτῶν, οἷς δὲ φιλίως ἐχρῶντο, μετὰ τὴν τούτων κατάλυσιν, Εὐκλείδου δημαγωγήσαντος, ψήφισμα ἔθεντο μὴ ἀλλήλοις μνησικακεῖν καὶ τὰ πρὸ Εὐκλείδου ἄκυρα εἶναι. τὰ μὲν τῆς ἱστορίας τοιάδε. τὰ δὲ παροιμιώδη ((τάδε)) τοιόνδε τὸν νοῦν ἔχουσιν· “εἰ ((δὲ))

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ ὑμεῖς, ὦ Καρίων, πλουτήσαντες νῦν ἐδοξάσθητε, ὡς οἱ μετὰ ((τοῦ)) Θρασυβούλου τότε κρατήσαντες τὴν Φυλὴν

book 1146 καὶ τοὺς ἐν τῷ Πειραιεῖ τυράννους ἡττήσαντες, μὴ μνησικακήσῃς ἐπὶ τοῖς πρώην ἐμοί, ὡς οὐδ' ἐκεῖνοι τοῖς ὁμοφύλοις"

book 1150 ταὐτομολεῖν: τὸ αὐτομολεῖν καὶ ἐνταῦθα διατρίβειν ἀστεῖον καὶ ἡδύ σοι νῦν φαίνεται.

book 1153 παρὰ τὴν θύραν στροφαῖον: πολλά εἰσιν ἀντώνυμα τῷ Ἑρμῇ. νῦν δὲ τὰ πρόσφορα πρὸς τὴν παροῦσαν ὑπόθεσιν τιθεὶς παίζει ἀγωνιστικῶς λύων αὐτά· τέλος εὑρόντος τοῦ Ἑρμοῦ κλῆσιν ἑρμαϊκὴν πρόσφορον τοῖς πλουτοῦσι καὶ εἰσαχθέντος ὡς διακονικοῦ καὶ ὑπηρετοῦντος πλύνειν κοιλίας, φησὶν ὁ Καρίων· "οὐ μάτην ἄρα οὐδ' οἱ ἐν Ἀθήναις δικάζοντες πολλοῖς δικαστηρίοις ἐγγράφεσθαι σπεύδουσι". καὶ αἱ πολλαὶ δὲ κλήσεις αἱ τοῦ Ἑρμοῦ τούτων ἕνεκα τῷ ἀλιτηρίῳ προελήφθησαν, ἵνα τό τε τῶν Ἀθηναίων κωμῳδήσῃ φιλόδικον καὶ τὸ τῶν δικαστῶν μοχθηρότατον. στροφαῖος λέγεται καὶ ἡ τῶν πυλῶν στρόφιγξ καὶ πᾶς πανοῦργος καὶ πράγματα μετατρέπων. καὶ τὸν Ἑρμῆν δὲ περὶ τὰς τῶν πυλῶν ἵδρυον στρόφιγγας, ἢ ἵνα τοὺς κλέπτοντας εἴργοι πρὸς τὰς οἰκίας εἰσδύεσθαι, ἢ ὅτι ταῖς οἰκίαις καὶ πόλεσι φρονήσεως χρεία καὶ πανουργίας, ((καὶ)) ἐν τοῖς ἀγροῖς δὲ καὶ τοῖς ἔξω πολέμοις, διὸ τοῖς μὲν ἀγροῖς Ἄρεος ἵστασαν εἴδωλον, τῆς Ἀθηνᾶς δὲ ταῖς πύλαις τῶν πόλεων, Ἑρμοῦ δέ, ὡς ἔφημεν, εἴδωλον ὄπισθε τῆς πύλης τῶν οἰκιῶν.

book 1155 "ἐμπολαῖον" ((δὲ)) πρατήριον, ἀγοραῖον.

book 1156 ἔγνως παλιγκάπηλον οἷς πρώην ἔφην.

book 1159a ἀλλ' ἡγεμόνιον: ὅτι ((ὁ)) Ἑρμῆς καὶ ὁ λόγος καὶ λογικῶν τεχνῶν ἡγεμονεύει καὶ πρακτικῶν, ὑποτιθεὶς ἑκάστῃ καὶ ἐφευρέσεις καὶ πανουργίας καὶ ἀφορμάς. ἡγεμόνιος δὲ λέγεται καὶ ὁ ὁδηγὸς τῶν τυφλῶν· διὰ τοῦτό φησιν "ἀλλ' ὁ Πλοῦτος βλέπει".

book 1159b μεθόδους καὶ τέχνας ὁ λόγος ἐργάζεται.

book 1162 οἱ παλαιοὶ οὕτως, [οἱ δ]ὲ νεώτεροι μετὰ τοῦ ν.

book 1163 μουσικοὶ ἀγῶνες οἱ δι' ὀργάνων θυμέλης γινόμενοι καὶ οἱ λογικοί. γυμνικοὶ δὲ οἱ δι' ἀλκῆς σώματος, ὥσπερ δρόμος, παλαίστρα, πυγμή, παγκράτιον, δίσκος, ἅλμα, ἀκόντισμα καὶ ἕτερα εἴδη μυρία.

book 1166 οὐκ ἐτὸς ἅπαντες οἱ δικάζοντες· οὐ ματαίως ἄρα ((τε)) οἱ ἐν ταῖς Ἀθήναις, φησί, δικάζοντες σπεύδουσι πολλοῖς ἐγγεγράφθαι γράμμασιν ἤτοι δικαστηρίοις. περὶ δὲ τῶν γραμμάτων καὶ τῶν δικαστηρίων τῶν ἐν Ἀθήναις καὶ περὶ τῶν δικαστῶν δὲ ὡσαύτως ἀνωτέρω φθάσας πλατυτέρως ἐδίδαξα, ὅτι τῷ Ἀρείου πάγου δικαστηρίῳ πρὸ τῶν προθύρων ἄλφα στοιχεῖον ἐγέγραπτο, τῇ Ἡλιαίᾳ δὲ η, τῷ ἐν Φρεαττοῖ φ, καὶ ἐπὶ τῶν λοιπῶν δὲ ((δικαστηρίων)) ὡσαύτως.

book 1171 τίς ἂν φράσειε: ὁ τοῦ ἐν ἄστει τιμωμένου σωτῆρος Διὸς ἱερεύς. μηδενὸς ἔτι θύοντος Διί τε καὶ τοῖς ἄλλοις θεοῖς, ἔρχεται παρὰ τὴν ((τοῦ)) Χρεμύλου οἰκίαν βουλόμενος τοῦ λοιποῦ συνεῖναι αὐτοῖς.

book 1184 ἀποπατησόμενοι: ἐκκρινοῦντες, ἀφοδεύσοντες πλεῖν καὶ πλείους ἢ ((καὶ)) μύριοι. πόθε δὲ ἀπόπατος ἡ ἔκκρισις εἴρηται, μάνθανε. πάτος μὲν λέγεται καὶ ἡ κατατετριμμένη ὁδὸς ἀπὸ τοῦ πατεῖσθαι, περὶ ἧς καὶ ((ὁ)) Ὅμηρος λέγει· "ὃν θυμὸν κατέδων πάτον ἀνθρώπων ἀλεείνων". πάτος λέγεται καὶ ἡ τροφή, ὅθε καὶ πάσασθαι τὸ φαγεῖν· καὶ ἐξ αὐτοῦ ἀπόπατος ἡ ἔκκρισις καὶ τὸ ἀποσκυβάλισμα τοῦ πάτου καὶ τῆς τροφῆς.

book 1185 οὐκοῦν κἀκ τούτων τὰ νομιζόμενα, φησί, λαμβάνεις καὶ ἐκ τοῦ ἀποπάτου τῶν εἰσιόντων ἔχεις λοιπὸν τὴν ἀπονενεμημένην καὶ εἰωθυῖαν μοῖραν τοῖς ἱερεῦσιν ἀπολιμπάνεσθαι.

book 1187

Eulogikon public reading copy · View original HTML at eulogikon.org

χαίρειν ἐάσας: ἀντίφρασις καὶ εὐφημία τὸ σχῆμα· ἤτοι ἀδημονεῖν καὶ λυπεῖσθαι, ὅθε λέγεται καὶ Χάρων, ὁ μὴ χαρᾶς ἀλλὰ θλίψεως αἴτιος.

book 1191 ἱδρυσόμεσθα ((τὸν θεόν))· ἱδρύσασθαι καὶ ἀφιερῶσαι τὸν θεὸν ἤτοι τὸν Πλοῦτον βούλονται ἀπαγαγόντες αὐτὸν ἐν τῇ ἀκροπόλει τῶν Ἀθηνῶν εἰς τὸν ὀπισθόδομον Ἀθηνᾶς, ἔνθα τὸ ταμιεῖον ὑπῆρχε. τοῦτο δὲ δῆθε ποιοῦσι καὶ ἐκεῖ βούλονται τὸν Πλοῦτον ἱδρύσαι, ὅτι ἐκεῖσε ἀπέκειτο ἀργυρίου ἐπισήμου ἤτοι κεχαραγμένου ἑξακισχίλια τάλαντα πάρεξ μόνον τριακοσίων.

book 1197 τὰς χύτρας ((αἷς τὸν θεὸν)): οἱ ἀφιεροῦντες ναοὺς ἢ ((καὶ)) θυσίας χύτρας ἀθάρας καὶ σεμιδάλεως ἢ πελάνων καὶ ὀσπρίων ἀληλεσμένων καὶ λοιπὰ δὲ ἡδύσματα προπομπεύοντα ἔθος εἶχον εἰσάγειν φερόμενα γυναικῶν κεφαλαῖς εὐπαρύφων. καὶ νῦν δὲ τὴν γραῦν τὴν ἐρωμένην τοῦ μείρακος φέρειν ἐπὶ τῆς κεφαλῆς πείσαντες τὰς ἱερὰς ταύτας χύτρας, τὸν ἀφρὸν τὸν τοῖς ἑψομένοις γίνεσθαι εἰωθότα, ὃν ἀφρὸν καὶ γραῦν ὀνομάζουσιν, ὁρῶντες ἄνω τῆς χύτρας ἐπιπολάζοντα, γελῶντές φασιν· "αἱ χύτραι αὗται, ἃς ἡ γραῦς ἐπὶ κεφαλῆς φέρει, τἀναντία δρῶσι χύτραις ταῖς ἄλλαις· ἐν ἐκείναις μὲν γὰρ ἡ γραῦς ἤτοι τὸ ἄφρισμα ἔπεστιν ἄνω, τούτων δὲ τῶν χυτρῶν ἡ γραῦς αὕτη γυνὴ τυγχάνει πολλῷ κατωτέρα". Τέλος Ἀριστοφάνους Πλούτου. Βλέψας ὁ Πλοῦτος ἐκ θεοῦ παρουσίας, ὥς φησι ῥήτωρ οὗτος Ἀριστοφάνης, τῶν ἁρπαγῶν ἔξω γε πλεονεξίας,

book 1197 δοκεῖ δ' ἔμοιγε τυφλὸν αὐτὸν ὡς πάλαι εἶναι, μὰ τὴν πρόνοιαν, ὡς βλέπω τάδε· ἐπείπερ ἁρπάζουσι καὶ τανῦν πλέον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org